N
235

19

~~Nicander cu scholiis~~
~~Et.~~ Damascenus ~~Theo~~
~~gonia, & alia opuscula Theologa~~

BIBLIOTECA
DE LA
Universidad de Salamanca
Est. 1 Caj. 2 Núm. 19.
235 3

BIBLIOTECA UNIVERSITARIA
DE
SALAMANCA

σχόλια εἰς τὰ ἀλεξιφάρμακα νικάνδρου.



οἱ μὲν ἐπιγράφουσι περὶ θανασίμων φαρμάκων.
οἱ δὲ ἀντιφάρμακα. δῆλοι δὲ ἀλεξιφάρμακα. ὡς
καὶ αὐτός φησι. ἐστὰ καί τι προσείσιν ἀλέξια
φαρμακοέσσαις εἰ καὶ μὴ σύγκληρα. νίκανδρός
ἐστιν ὁ λέγων κολοφώνιος πρωταγόρᾳ κυζι
κηνῷ. ὁ δὲ νοῦς. εἰ καὶ μὴ σύνεγγυς ἔχομεν τοὺς
κλήρους τῶν ἡμῶν πόλεων ἐν τῇ ἀσίᾳ ἀλλὰ
τὸ σοὶ προσφωνεῖν οὐκ ἀνοίκειον ἡγοῦμαι.
δήμους δὲ λέγει τὰ ἀθροίσματα τῶν τε περι
οίκων καὶ τῶν κτιστῶν. καὶ πύργους δεῖ ἀκούειν
τὰς πόλεις ἀλλ' οὐ τὰς ἐπάλξεις κυρίως
ὅπερ σημαίνουσιν. ἀπεμφαίνων γάρ ὁ
λόγος ἐστίν. εἰ ἔθηκεν τῶν ἐπάλξεων οἱ δῆμοι
τὰ τείχη ἔκτισαν ἀλλὰ μὴ ἔθηκεν τῶν πό
λεων. σύγκληρα δέ, σύνοικα τῶν αὐτῶν
κλήρων. τὸ δὲ τεῶν οὐκ ὀρθῶς κεῖται, ση
μαίνει γὰρ τὸ τινῶν. ὅμηρος. τεῶν δὲ ἐξ ἑταί
ρων. βούλεται δὲ λέγειν ὧν. βλάσταις
δὲ βλαστήμασι. τὰ γένη. ὁ γὰρ ἄνθρωπος
δίκην φυτοῦ αὔξει. πύργοισι δὲ τοῖς πό
λεσι ἀπὸ μέρους τῶν τειχῶν. καὶ σο
λιγὸς ἀντὶ τοῦ μακρὸς, πολὺ ἀπέχουσι
γὰρ ἀλλήλων ἡ κύζικος καὶ ἡ κολοφών.
ἀλέξια φαρμακοέσσαις τὰ ἀλεξιτήρια



BIBLIOTECA UNIVERSITARIA
DE
SALAMANCA

τῶν φαρμάκων ποιμήν· ἀντὶ τοῦ βλαπτούσας καὶ
ὠφελούσας βοτάνας ποιμήν. ἅ τε φῶτες
ἑλεῖν ἐπεῖν, αἵτινες αἱ πόσιες. ὁ δὲ λόγος τὸ ὁμώ-
νυμον οὐδετέρως μετήλλαξεν ὁμηρικῶς. πρὸς
τὰ φάρμακα γὰρ τὰ φθοροποιὰ ἔφησε τὰ
ἀλεξιτήρια τῶν φαρμάκων ποιμήν. πο-
λυρροθίοιο δὲ θαλάσσης· τῆς πολυταράχου
παρὰ τὸ ῥοθεῖν τὰς ναῦς ὅ ἐστι ταράσσειν.
ἄρκτον ὑπ' ὀμφαλόεσσαν· ἀρκτικωτέρα γὰρ ἡ
κύζικος τῆς κολοφῶνος. ὀμφαλὸν δὲ καλεῖ
τὸν βόρειον πόλον ὡς μεσαίτατον ἢ αὐτὴν τὴν
ἄρκτον διὰ τὸ [illegible] αὐτὴν περὶ ἄξονα
κέντρον. ὀμφαλόεσσα λέγεται διὰ τὸ περὶ τὸ
μέσον τοῦ βορείου κεῖσθαι. τινὲς δὲ ἐπειδὴ ἡ κα-
τὰ τὴν ἄρκτον τόπος εὐβοτώτατος ὀμφα-
λόεσσαν εἰρῆσθαί φασι τὴν τροφώδη. ὀμ-
φαλὸς γὰρ ἀπὸ τῆς ὀμπνῆς λέγεται ὅ ἐστι
τροφή. ἀφ' οὗ καὶ ἡ δημήτηρ ὀμπνία. ὁ
ἄλλοι δὲ τὴν κρητικήν. ὀμφαλὸς γὰρ τόπος
ἐν κρήτῃ ὡς καὶ καλλίμαχος· πέσε δαῖμ-
ον ἀπ' ὀμφάλιος· ὅθεν ἐκεῖνο ὀμφάλιον μετέ-
πειτα πέδον καλέουσι κύδωνες. λο-
βρίνης θαλάμαι· τόποι ἱεροὶ ὑπόγειοι
ἀνακείμενοι τῇ ῥέᾳ ὅπου ἐκτεμνόμενοι
τὰ μήδεα κατετίθεντο οἱ περὶ ἄττιν καὶ
τὴν ῥέαν λατρεύοντες. ἔστι δὲ τὰ λόβρινα
ὄρη φρυγίας ἢ τόπος κυζίκου. δύο γὰρ

ὄρη ἐστὶν ἐν κυζίκῳ δίδυμα καὶ λόβρινον. οἱ
ἄττεω· ἱστορεῖται ὅτι ποιμὴν ἦν φρὺξ ὁ
ἄττης ποιμαίνων δὲ καὶ ὑμνῶν τὴν μητέρα
τῶν θεῶν ἤτοι τὴν ῥέαν ἐφιλήθη ὑπ' αὐτῆς
καὶ δὴ φαινομένη πολλάκις τιμῆς αὐτὸν
ἠξίωσεν. ὁ ζεὺς δὲ ἐπὶ τούτῳ δυσαναχε-
τῶν ἀνεῖλεν αὐτὸν οὐ φανερῶς δι' αἰδῶ
τῆς μητρὸς σῦν ἄγριον πέμψας. ἡ δὲ κα-
τολοφυρομένη αὐτὸν ἔθαψεν. οἱ δὲ
φρύγες κατὰ τὸ ἔαρ θρηνοῦσιν αὐτόν.
ὥσπερ γὰρ ἀπὸ ἄλτης ἄλτεω οὕτω καὶ ἀ-
πὸ τοῦ ἄττης ἄττεω. ἢ ὡς ἀπὸ περι-
σπωμένου ὥσπερ ἑρμῆς ἑρμέω. ἱρεού-
σης· ἱερατευούσης καὶ ἀπόλλωνος ἰων ἀφθ-
ἰῶνες οἱ ἀθηναῖοι καὶ ἰάδες πολλαὶ
πόλεις. ἡ δὲ κολοφὼν τῆς ἰωνίας. ἑζομένη·
καθέζεται καὶ ἑζομένη κλαρίοιο θεοῦ
παρὰ πίονι νηῷ. κλάρος γὰρ λέγεται
παρὰ τὸ κεκληρῶσθαι τὴν πόλιν ἀπόλ-
λωνι, ἢ ὅτι ἐκεῖ ἐκληρώσαντο ζεὺς
ποσειδῶν πλούτων. ἢ ὅτι ἐκεῖ ἔκλαυ-
σεν ἡ μαντὼ σὺν τῷ ἀνδρὶ βακχιά-
δῃ διὰ τὴν τοῦ τόπου ζημίαν.
πνύθης· ἀντὶ τοῦ πνύθι. ἢ ὅπως
γνῶθι δίστιχον ἀντὶ τετραστίχου
ἄκουε. μάθε. τὸ δὲ ἀκόντι ἐκ τοῦ

ἐμέτου φασὶ γενέσθαι ταύτην τὴν βοτάνην
τὸ δὲ ἀκόνιτον εἶδός ἐστι βοτάνης, ὅμοιον
ἀγρώστιδι. οὗ ἡ πόσις πικραίνουσα
τὸ μὲν στόμα ἅπαν στύφει, τὴν δὲ καρδίαν
δάκνει· τὸ δὲ πνεῦμα ὑπὸ καταπτύξει
τοῦ πνεύμονος ἐπικόπτει λυγμοὺς ὅπως
χεῖς ἀποτελοῦσα. διὸ καὶ τὸ στόμαχον
ἀκίνητον ὄντα ἐμποδίζουσα κλύει.
τὴν δὲ κοιλίαν πνεύματος ἐμπίπλη
σι καὶ τὸ κῶλον, τοῖς δὲ κροτάφοις πάλ
μον παρέχουσα καὶ τὴν κεφαλὴν βάρο
καὶ τοῖς μήκεσιν ὀφθαλμοὺς ἐκφορικὰς
ποιεῖ καὶ ἀσθενεῖς. τὸ ἀκόνιτον εἶδος
βοτάνης ἐστὶν ὅπερ καλοῦσιν ἀπὸ τοῦ
συμβεβηκότος παρδαλιαγχές. λέγε
ται ἀπόλλυσθαι ὑπ᾽ αὐτοῦ τὴν πάρ
δαλιν. ἐπειδὴ ἀντιφάρμακον ἔχει τὴν
ἀνθρωπείαν κόπρον καὶ οὐ πρότερον
ἐσθίουσιν αὐτὸ αἱ πάρδαλεις ἐὰν μὴ ἔχω
σιν τὴν κόπρον πλησίον ἵνα εὐθέως
προσενέγκωνται τὴν βοήθειαν. οἱ οὖν νο
μεῖς τὴν ἀπόπατον ἐξάπτουσιν
ἐν δένδρῳ· ἔπειτα ἐπειδὰν φάγωσιν αἱ
πάρδαλεις τὸ ἀκόνιτον καὶ ὁρμήσωσιν
ἐπὶ τὴν κόπρον ἀναπηδῶσιν, οἱ ποι
μένες καὶ περιαλλόμεναι τουτέστιν ἐπι



πηδῶσαι ἀποθνήσκουσι. ἱστορεῖ Ἀριστοτέ
λης ἐν τῷ ἐννεακαιδεκάτῳ περὶ ζώων.
ἀχερώων· ὁ ποταμὸς ἐν Ἡρακλείᾳ τῇ Ποντι
κῇ ἔνθα τὸν τοῦ ᾅδου κύνα ὁ Ἡρακλῆς
ἐξήγαγε καὶ ὁ λόφος Ἀκόνιτος λέγεται
εὐβούλιος ὁ τοῦ ᾅδου κατ᾽ εὐφημισμὸν
ἀστυρᾶτε. τὰ ἄστυρα πολίσματα τὰ
εἰσὶ καὶ χωρία οὕτω λεγόμενα. ὁ δὲ
Πριόλαος υἱὸς Λύκου βασιλέως Μαρυ
ανδυνῶν ὃς ἀπέθανεν ἐν Ἡρακλείᾳ
τῇ Ποντικῇ Ἡρακλέους πολεμοῦντος τοῖς
πλησίον· οὗ ἐστὶ ὄνομα ὁ πατὴρ τὴν
πόλιν ἐκάλεσεν ἐγγὺς οὖσαν Ἡρακλείας
οὐρανόεσσαν δὲ ὑπερῴην ἢ τὸ ἐπάνω
τοῦ χείλους ῥίχωμα ἢ τὴν ὑπερῴαν
ἤτοι τὸν οὐρανίσκον καταχρηστικῶς.
δύη ἐνιδάκνεται. τῇ ταλαιπωρίᾳ
δὲ τοῦ πάθους τὸ τῆς καρδίας ἄκρον
ὑποδάκνεται. ἄκρον νειαίρης τῆς
κοίλης, τῆς κατωτάτω κατὰ τὸ ἄκρον
καὶ ἄκλειστον στόμα τῆς νειαίρης γαστρὸς
ἀφερόμενον τὸ φάρμακον. στόμα δὲ γα
στρὸς ὁ στόμαχος. ποιητικῶς δὲ ἐξέφρα
σεν. ἡ δὲ κάκωσις φησὶν ἐπιτίθεται τῷ
στόματι τῆς κοιλίας ὃ διὰ παντὸς ἀνε
ῳγός.

τεύχεος τοῦ σώματος τῆς κοιλίας. ἣν οἱ μὲν
ὑδρίαν καλοῦσιν, οἱ δὲ δοχεῖον τῶν
ἐντέρων τῆς βρώσεως. λέγει δὲ τὸ
κῶλον. ὑπ' ὕλῃ δ' ἐπικέκλιται,
ἐμπέφρακται ὑπὸ παχέων ἐντέρων
ἡ διέξοδος. τοῦτο γάρ φησιν ὅτι φράττει
τὰ δοχεῖα μέρη τῶν σιτίων διὰ τὴν ἀλ
γηδόνα. νοτέων ὑπολείβεται ἱδρώς
παρακολουθεῖ δὲ ἀεὶ τῷ ἀκονίτῳ πε
πωκόσιν ἐκ τῶν βλεφάρων καὶ τῶν μελ
ὑγρὰ ὑπόσταξις. ἡ δὲ γαστὴρ πνευματου
μένη καὶ ταρασσομένη τὰ μὲν πολλὰ
τῶν πνευμάτων ἄνωθεν ἐκβάλλει,
τὰ δὲ λοιπὰ κάτω πέμπει ἅ
τινα κατὰ τὸν ὀμφαλὸν ἱδρωθέντα
ἐμφέρεται τὴν κοιλίαν. κρατὶ
δ' ἐν βάρος. πνευμάτωσις δὲ πο
λλὴ καὶ βάρος κεφαλῆς καὶ κροτά
φων παλμός. διπλόα· ἀντὶ τοῦ
διπλᾶ ὁρᾷ, οἷα συμβαίνει τοῖς
ἐσκοτισμένοις τῇ μέθῃ. οὕτω φησὶ
βαρεῖται ὑπὸ τοῦ φαρμάκου ὁ
πιών, αὐτὸ ὡς ἀνὴρ κραιπαλῶν.
ἀγλεύκεαν ὀπώρην· νῦν τὴν σταφυλήν



λέγει ἀντὶ τοῦ ἀγλευκοποιόν. ἐπειδὴ ὁ οἶνος
ἀγλευκοποιός ἐστι καθάπερ λέγεται ἡ ἀγλεύκεια
καὶ ὀργή. ἐκθλίψαντες· ἤγουν ἐκπιέσαν
τες τὴν σταφυλὴν οἱ σιληνοί. οὗτοι δὲ οὓς
ἡμεῖς σατύρους λέγομεν οἱ ἀρχαῖοι σιληνοὺς
ἐκάλουν ἀπὸ τοῦ σιλλαίνειν ὅ ἐστι λοιδορεῖν.
γράφεται δὲ διὰ τοῦ ι. κεραστό· ὅτι οἱ ἀρ
χαῖοι κέρασιν ἐχρῶντο ἐν τῇ πόσει ἀν
τὶ ποτηρίων ὅθεν καὶ τὸ κεράσαι
εἴρηται. ἢ διὰ τὸ ταυρωπὸν τοῦ οἰνοῦν
τα. τουτέστι τὴν ἀπὸ τοῦ οἴνου ἰσχὺν
ὡς κέρατα ἐχόντων, ταυρόκερως γὰρ ὁ διό
νυσος. θωρηχθέντες· ἀντὶ τοῦ μεθύοντες
καὶ ἱπποκράτης τὴν οἰνοποσίαν θώ
ρηξιν εἴρηκε. νυσαίην δὲ κλιτὺν· ἤγουν ἀνὰ
τὴν κλιτὺν τοῦ νυσαίου ὄρους. ὡς δ' οἵγε
σκοτόωσιν· οὕτω φησὶ καὶ οἱ βεβρωκό
τες τὸ ἀκόνιτον διατίθενται ἔκφρονες.
ταύτην μέντοι τὴν βοτάνην τὸ ἀκόνιτον
καὶ μυοκτόνον καλοῦσιν διὰ τὸ τοὺς πε
ριλαχόντας αὐτὴν μύας φονεύειν. ὕρα
κας· τοὺς μύας κατὰ αἰτωλοὺς λέγει
γὰρ ὗς ὁ χοῖρος καὶ ὕραξ. ὕρακας δὲ
γοῦν τοὺς μύας ἐκάλεσε διὰ τὸ προσεοίκα
σι

χοίρεσσι τοῖς ἐσθίειν. λιχμήρεας δὲ τοὺς πε-
ριλείχοντας. καὶ ἀνιέρους τοὺς ἀνιαρούς.
πορδαλιαγχὲς λέγεται τὸ ἀκόνιτον, ἐπειδὴ
τούτῳ αἱ παρδάλεις χρισάμεναι ἀποπνί-
γονται ὥσπερ οἱ ἀγχόμενοι ὑπὸ τοῦ ἀν-
θρώπου κόπρον θεραπεύει. οἱ δὲ νομεῖς
καὶ οἱ βουπελάται πορδαλιαγχὲς αὐτὸ
ἔθηκαν ὡς τοῖς θηρίοις τοῖς πηδώδεσι
τουτέστι ταῖς πορδάλεσι ταῖς μεγάλαις.
πορδαλιαγχές· πότμον αὐτὸ ἔθηκαν.
βουπελάται· οἱ βουκόλοι. παρὰ
τὸ πλησιάζειν ταῖς βουσὶ καὶ κολλᾶ-
σθαι αὐταῖς. ἰστέον ὅτι ἡ πόρδαλις,
ἐὰν φάγῃ τὸ ἀκόνιτον ἀναιρεῖται. οὐ
κεῖσθον οὖν ἐσθίει ἐξ αὐτοῦ ἡ μὴ ἔχει
πλησίον κόπρον ἀνθρωπείαν. ταύτῃ
οὖν κέχρηται ἀντιφαρμάκῳ. οἱ οὖν
νομεῖς ἐξάπτουσι τὴν κόπρον εἰς ῥοπ
τοσοῦτο ὕψος ὅσον οὐ δύναται πάρ-
δαλις πηδῶσα φθάσαι. ὁρῶσα οὖν
τὴν κόπρον ἅτε θαρροῦσα ἔχειν τὸ ἀν-
τιφάρμακον βρώσει τὸ ἀκόνιτον ἵνα ὁρμᾷ
ἐπὶ τοῦ χρήσασθαι τῷ ἀντιφαρμάκῳ
καὶ οὐκ ἐφίκεται αὐτοῦ. ἢ οὐκ ἅπτεται
αὐτοῦ διὰ τὸ ὕψος. οὕτως οὖν ἐφαλλο-

μένη καὶ πηδῶσα λαμβάνει τοῦ ἀντιφαρμά-
κου καὶ μὴ δυναμένη διὰ τὸ ὕψος ἀπο-
θνήσκει ἢ ἀτονεῖ. ἄτονον γὰρ τὸ ζῶον φύσει
καὶ οὕτως αὐτὴν σφάζουσιν οἱ νομεῖς.
ἴδης ἐν κνημοῖσι· ἐν τοῖς τόποις τῆς
ἴδης. κορυφαὶ δὲ ἡ ἐξοχαὶ τῆς ἴδης.
τέσσαρες. φαλάκρα. λεκτὸν. σίγειον.
γάργαρον. φαλάκρα δὲ ἀκρωτήριον ἴδης.
διὸ καὶ ὁ λυκόφρων φησὶν αἱ φαλακραὶ
αἱ κορυφαί. θηλύφονον ὅτι ἐὰν ἅψηται
μορίου θήλεος διαφθείρει τὸ ζῶον· παν-
τὸς φησι ζώου θήλεος εἰς τὴν φύσιν ἐν-
τιθέμενον τὸ ἀκόνιτον φθορᾶς αἴτιον
γίνεται. κάμμορον δὲ κακῷ μόρῳ ἀ-
ναιροῦν. ἐν ἀκοναίαις ἐν τοῖς
τόποις οἷς γίνονται αἱ ἀκόναι. ταύ-
τας δὲ τὰς ἀκόνας οἱ μὲν ἐν ἡρακλεί-
ᾳ φασὶ γίνεσθαι, οἱ δὲ ἐν ἡμιόνῃ, οἱ δὲ
ἐν τανάγρᾳ. ὀρύγμοις· τοῖς μετεώ-
ροις τόποις. ἀπὸ τοῦ τοὺς ὄρθους
τόπους ὄχθους ἔχειν ἢ τοῖς τόποις τὰς
ἐξοχὰς ἔχουσιν. ἐντεῦθεν λέγονται
τὰ βοηθήματα καὶ ἀντίδοτα τοῦ
ἀκονίτου. τῷ κεπουτιζομένῳ

παρέχειν ἐπὶ τὰ βοηθήματα τοῦ ποτίσματος
τοῦ ἀκονίτου καὶ φησι δράχμα κονίας ἀσ-
βέστου μισγομένην οἴνῳ βοηθεῖν τῷ πεπω-
κότι. τίτανος ἐστὶν ἡ ἄσβεστος. ὅτε νέκταρ
κιρρὸν ὅτε οἶνον πυρρὸν ἐν τρυβλίῳ με-
τρητὸν ἀντὶ τοῦ μετρήσας ἀφύσσης. /
θάμνου δὲ ἤτοι τοῦ θαμνάδους ἢ τοῦ
θαμνώδη φύλλα ἔχοντος. / χλοεροῦ πρα-
σίοιο. τρία γένη ἐστὶ τοῦ πρασίου. δηλοῖ
δὲ τὸ ποῖον βούλεται. φησὶν οὖν τὸ με-
λίφυλλον. ἔστι δὲ τοῦτο πικρὸν σὺ
τὰ φύλλα σὺν οἴνῳ ἔτριψον πληρώσας
τὴν χεῖρα ἢ ἀβερτήνου καὶ ποτήριον
πληρώσας δὸς πιεῖν. / ἀειθαλέος
ἤγουν ὅτι ἀεὶ χλωρά ἐστιν ἢ χαμαίζηλα κα-
λουμένη βοτάνη. τοῦ δὲ πηγάνου /
εἴδη ἐστὶ δύο. ἄδηλον οὖν ποῖον λέγει ὅ-
μως οὖν καὶ αὐτὸ ληφθὲν εἰς ἡμίσου βάθος
χειρὸς πλήρωμα καὶ μετὰ οἴνου ἐλα-
θὲν ἢ μιγέντος καὶ τετάρθεν ποτισ-
θὲν ἤτοι κοτυλισθὲν ποθὲν ὠφελεῖ. αὐαλέ-
ον τὰ μύδρον. πεπυρακτωμένον σίδηρον
ἤτοι κεκαυμένον ἐναποσβεννὺς φησὶν



/ εἰς ὕδωρ πῖνε. τρύγα δὲ τὴν σκωρίαν
λέγει. πᾶν δὲ ὑγρὸν βάμμα καλεῖται.
σημείωσαι ὅτι μόνον βάμμα τὸ ὄξος.
ἡ δὲ μετά τινος δηλοῖ ὃ μέμικται. τὴν
σκωρίαν τοῦ σιδήρου τρύγα φησίν. ἣν ἐν
τῇ καμίνῳ ἡ τοῦ πυρὸς φλὸξ ἐχώρι-
σεν ἀπὸ τοῦ σιδήρου. τὸ μὲν γὰρ τοῦ
χωνευομένου καθαρὸν ἐστιν, τὸ δὲ ἀ-
κάθαρτον. διὸ καὶ δίχα εἶπε. καὶ ταύ-
την οὖν σβέσας ἐν μέλιτι πότισον τὸ
ἀπόβαμμα αὐτῆς τὸν κάμνοντα
καὶ χρυσοῦ δὲ ἢ ἀργύρου τὸ βάμμα
τοῦ ἐληλασμένου καὶ ζέοντος. ἥν τε
καμὶν ἥντινα ἐνταῦθα τῶν καμίνων
τοῦ χωνευτηρίου δίχα ἤλασεν ἢ τοῦ
πυρὸς λιγνύς. καὶ χρυσοῦ δέ φησιν
ἢ ἀργύρου ἀπόβαμμα πινόμενον
ὠφελεῖ. λιγνὺς δέ ἐστι κυρίως τὸ καπ-
νῶδες τοῦ πυρὸς νῦν δὲ αὐτὴ ἡ φλόξ
θρίων θρία δὲ ἰδίως μὲν τὰ φύλλα
τῆς συκῆς ὥσπερ οἰνηρὰ τὰ τῆς ἀμπέ-
λου. νῦν δὲ τῆς χαμαιπίτυος φησίν.
ἢ καὶ ὀνόγυρος καὶ σιδηρῖτις λέγεται. /

καὶ ὀνία ἀγρέα ὀνῖτιν λέγει τὴν ὀρίγανον
δύο δὲ γένη ὀριγάνου ἡμεῖς χρώμεθα· ὃ
καὶ ἥμερον λέγεται, ὃ καὶ οἱ ὄνοι ἐσθίουσιν·
ὃ καὶ περιείληφεν ὃ καὶ ὀνῖτις λέγεται. εἰς
λαμβάνειν κελεύει τὰ φύλλα εἰς ἥμισυ
πληροῦντα τὸ βάθος τῆς χειρός. ἢ τοῦ
πολυκνήμου ἢ τῆς χαμαιπίτυος καὶ
μετὰ τεσσάρων κοτυλῶν οἴνου ποτίζειν·
ῥάδιξ ἢ ῥάβδος βληχνήμων δέδειχεν·
οὕτω τὶς βοτάνη παρὰ τοῖς ῥιζοτομικοῖς
λεγόμενον. δύο δὲ αὐτοῦ διαφοράς
εἶναι φασὶν οἱ τὰ ῥιζοτομικὰ γράψαντες
μυελόεντα τὴν τῆς ἑψήσεως σύμπηξιν τῶν
ὀρνιθείων σαρκῶν ἢ τὸν ὡς μυελὸν γινό-
μενον ἀπὸ τῆς ἑψήσεως ἢ ἐκ τῆς ὀπτήσεως
κελεύει δὲ τὴν κατοικίδα ὄρνιν ἑψεῖσθαι
ἕως ἂν τακῇ αὐτῆς τὰ κρέα καὶ γένηται
ὡς χυλὸς καὶ τότε περιαφαιρεῖσθαι τὸν
ζωμόν. καὶ τε βοὸς καὶ μοσχίου κρέατος
ἑψήσας περισφριγῶντος καὶ περιπλή-
θοντος τῷ λίπει πλήρωσον τὸ ποτὸν
ζωμοῦ. καθ᾽ ὑπερβολὴν γὰρ ὁ τοιοῦτος ζωμός
ὠφελεῖ. βαλσαμόιο. βαλσάμου φησί



τὸν ὀπὸν δεῖ πίνειν μετὰ γάλακτος γυναι-
κείου ἢ μεθ᾽ ὑδρελαίου. θηλυτέρης γὰρ
πώλοιο νέης, γυναικός φησιν καὶ οὐ πώ-
λου ἵππου. ὅτι δὲ χρήσιμον τὸ γυ-
ναικεῖον γάλα καὶ βασίζεται τοῖς μείζου
μὲν ἐν τῷ περὶ θανασίμων. τὸ δὲ ἑξῆς
ἐν ταῖς γαστράσι τοῦ βαλσάμου ποτι-
χέας γάλακτος θηλυτέρας πώλου ἤτοι
τῆς ἀνθρώπου. χοὺν ἢ πανάκεα δόρ-
σπον περιεμέσει πιὼν τούτων ἕκαστ-
ον προσφερόμενον χρησίμως, οὐχ ἁπλῶς
ἀλλὰ μετὰ τὸ ἐμέσαι. πανάργεα
ἢ ἀργόν, ἀνέψητον, ἀδιβίαστον. ἀδι-
άπεπτον. δορκυνέος δὲ τοῦ ὁρῶν-
τος ἐν τῷ κοιμᾶσθαι. τοῦ δορκευνέος
φησὶ σκίναχος ὅτι τοῦ σκιρτητικοῦ λα-
γωοῦ τοῦ ἐν τῷ κοιμᾶσθαι βλέποντος
καθάπερ καὶ ὁ λέων καὶ ὁ ὄφις. ἀλ-
λοτε καὶ μορέης καὶ συκαμίνου
πεπάσας τὰς ῥίζας λαμβάνειν καὶ
ἐν ὅλμῳ ξυλίνῳ κόπτειν ὁμοῦ καὶ
ἑψεῖν μετὰ οἴνου καὶ διδόναι πίνειν.
δούτρα δ᾽ αἰγλήεντος λιμμυθίου.

τοῦ ψιμυθίου φαρμάκου ἡ χροιὰ λι-
περῷ γάλακτι ἔοικεν ἀμελχθέντι νεωστὶ
ἐν κισσυβίῳ καὶ ἔτι ἀφρίζοντι. πελλίσι
δὲ σκαφίσι. ποιμενικοῖς ἀγγείοις ἐν οἷς
τὸ γάλα ἀμέλγεται. ὅμηρος περιγλαγέ-
ας κατὰ πέλλας. γεφύρωσιν κοίλαις
καὶ βαθείαις καὶ δεκτικαῖς. τοῦ μὲν
ὑπὸ γεννᾶσθε τούτου φησὶ τοῦ λαμ-
βάνοντος τὸ δηλητήριον τοῦ ψιμυθίου
τὰ ἔνδον τῶν σιαγόνων καὶ ὅπου τὰ οὖλα
ῥυσαίνεται ὁ ἀφρὸς τοῦ ψιμυθίου
ἐπισύφων ἐμπελάζει. ἄλλως. οὐ
τὰς ἐκτὸς λέγει ἀλλὰ τὰς ἐντὸς ὅπου
οἱ ὀδόντες εἰσί. διὸ καὶ ῥαδίως ῥυτιδοῦνται
ὑπὸ τοῦ ψιμυθίου ψυχόμεναι ὡς
ξηρανθῆναι. ὁ γλάφυρος αὐτοῦ ὡς λε-
πτομερὴς περικαθίζει τοῖς οὔλοις.
ἀμφὶ δὲ ὁλκός. ὁλκὸς περιφερὴς τῶν
τὸ μῆκος καὶ ἡ παράτασις τῆς γλώ-
σσης. ἡ μὲν γλῶσσα φησὶ τραχύνεται. ὁ
ὁ νέατος ἰσθμός τουτέστιν ὁ ἔσχατος
τηρῶν τὰ παρίσθμια ἃ λέγεται ἐγγὺς

τοῦ φάρυγγος ξηραίνεται ἢ τραχύνεται. ξη-
ρὰ δὲ βήσσων διὰ χηνὸς τουτέστι τοῦ στή-
θους τὴν ἀναφορὰν τῶν ῥευμάτων ποι-
εῖται ἄπαυστον καὶ ἡ ὑποχρατὴς ἀνα-
χνύσσεται καὶ ξυγγάνει ταμινὰ πνεύ-
ματα. ἀβλεμὲς δὲ ἀντὶ τοῦ ἀδρανές
ὡς ἀπὸ τοῦ βλεμεαίνω. ἄλλω ἐτρο-
δέα πλάνῃ ἀλλοιοφρονεῖ βλέπει. ἰ-
νδαλμάτων μὴ ὑποκειμένων φησὶν ὁ-
ρατικὴν φαντασίαν γίνεσθαι. δοκεῖ δὲ
τοῖς ὀφθαλμοῖς ὁρᾶν φανταζόμενος μὴ
ὑποκειμένων ἰνδάλματα τινῶν πραγμάτων.
ἄλλοτε δ' ὑπναλέος ἄλλοτε δὲ ὑπνοκοι-
μώμενος ἀποψύχεται τὸ σῶμα καὶ
ψυχροῦται ὅλος καταβαρυνόμενος ὑπὸ
τῶν τῷ κάματος δὲ ἔχων ὑποδάμ-
ναται. πρημαδίης. πρημαδίη καὶ
ὀρχὰς καὶ μυρτίνη εἴδη ἐλαιῶν εἰσίν. οὐ-
δὲν δὲ διαφέρει ἐκ τούτων λαμβάνειν
τὸ ἔλαιον ἢ ἐξ ὁποίου ποτε. οἱ γοῦν περὶ
τοῦτο πεπραγματευμένοι ψιλῶς
ἀντὶ τοῦ φανερῶς παραγγέλλουσι. φαρ-
ὑπὸ τῶν νεοτρόφων τὸ αἷμα. καὶ

καλλίμαχος εἶναί φησι τὸ αἷμα τὸ ῥόδον· εἶπε
πολλάκις δὲ ἐκ λύχνου πῖον ἤιξαν ἔαρ.
καὶ ἡ μυρτίνη. ἡ δὲ ἐλαία ὅτι βραχὺ ἔχου-
σα ἀθρόον. ἀποαίνυσο γρηῦν· τὴν
πεπηγότα ἄφελε τοῦ γάλακτος ἀπο-
γραΐσον. γρηῦς δὲ ὁ ἐπὶ τοῦ γάλακτος
γινόμενος πάγος ἐπειδὴ ῥυτιδοῦται
ὥσπερ ταῖς γραυσὶ τὸ σῶμα συμβαίνει
ῥυτιδοῦσθαι τὸ ἐπιπολάζον τοῦ γάλακ-
τος ὃ οἱ σικελοὶ σύφαρα καλοῦσιν ἀφε-
λοῦ καὶ οὕτω δὸς πιεῖν. χυλῷ ἐνι-
κλώθοντι· τοῦ ὡς νῆμα κλωθομένῳ
χυλῷ τῆς μαλάχης μετὰ οἴνου χόρεσον
τὸν κακηπελέοντα ἤτοι τὸν κακῶς
ἔχοντα. ἢ ἐοῦ κληματόεσσαν καύσας
κονίαν ἀπὸ κλημάτων πλύναντα
καλαμίνῳ καλάθῳ διυλίζειν καὶ με-
θ' ὕδατος θερμάναντα διδόναι τῷ ἐνεχ.
δοχὴ γὰρ ἡ κονία ἤτοι ἡ τέφρα ἤτοι σα-
κτὴ ἀπορρυπτεῖν ἀπὸ τῶν σωμάτων
πᾶν τὸ παραπλασσόμενον τοῦ ψι-
μυθίου τοῖς σπλάγχνοις. ῥύμμα
δὲ τὸ μίγμα, τὸ ῥυπτον. φησὶ δὲ
πλύνεσθαι τὴν τέφραν τῶν κλημά-



τινὶ καὶ διηθεῖσθαι ἐν τοῖς κόλποις τοῦ
νεοπλεκτοῦς καλάθου διὰ τὴν ὕλην. /
σκληρῇ ἀπὸ περσείης γράφεται καὶ ξηρῇ
ἀπὸ περσείης. ἐν τοῖς τῶν περσέων λέ-
πεσιν οἱ πολλοὶ ὀξέον καλοῦσιν. ὅτι
δὲ ὅμοια κάρυα. θεόφραστος δέ φησιν
ἐν τῷ τεσσαρεσκαιδεκάτῳ τῶν φυτικῶν
κάρυ αὐτὸ προσηγόρευσε. κάρυα δὲ
λέγονται ὅλα τὰ ξυλώδες λέπος ἔχον-
τα. περσείης δὲ εἶπε τὸ ἀρχαῖον ἀ-
πὸ τοῦ θεοδοσιακοῦ νικάνδρου με-
ταγεγραμμένον. περσεὺς ἦν ποτε
τῶν ἄλλων ἱστοροῦντες αὐτὴν καταφυ-
τεῦσαι τὴν περσέαν ἐν αἰγύπτῳ. ὡς
καὶ καλλίμαχος καὶ ῥιτάτη περσόνος
ἐπώνυμος ἧς ὀρόδαμνον αἰγύπτῳ κα-
τέπηξεν ὁ νίκανδρός φησιν ἐν μυκή-
ναις καταφυτεῦσαι. γοργόνεντα
δὲ μεδούσης ἐπειδὴ ὁ αὐχὴν τῆς με-
δούσης γοργόνος ἀποτμηθεὶς ἐγέννησε
τὸν χρυσάορα καὶ τὸν πήγασον ἵππον
ὡς ἡσίοδος ἐκ γὰρ τοῦ αἵματος αὐτῆς
οὗτοι ἐγένοντο. μύκης κυρίως τὸ ἄκρον

τοῦ ξίφους τὸ κατακλεῖον τὴν θήκην. ἄλλως.
ἀπὸ τοῦ μύκητος τοῦ ξίφους φησὶ περσεῖ
τὰς ὠνομάσθαι τὰς μυκήνας. τινὲς δὲ ἀπὸ
κρωΐδος νύμφης ἧς μέμνηται καὶ ὅμηρος.
τηρεῖ τ᾽ ἀλκμήνη τ᾽ ἐϋστέφανός τε μυκήνη.
λαπάρα δὲ κοιλώνη τοῦ ἄγγους. καὶ διὸς
παιδὶ τῷ περσεῖ ζητεῖν δὲ τὴν λαβὴν
τοῦ ξίφους περιέτυχε τῇ πηγῇ.
ἀχοσταῖς πεφρυγμέναις κριθαῖς. βού
λεται δὲ καὶ τὴν ἐκ κριθῆς πτισάνην
λέγειν. ἀχοσταῖς οὖν ταῖς κριθαῖς παρὰ τὸ
ἄχος ποιεῖν τοῖς νοσοῦσι πινομέναις,
ὅθεν καὶ τὸ ἀχοστήσας οἷον κριθιάσας ἢ
ἴαμα τῆς συστάσεως εὑρών. γερραίης δὲ
τῆς ἀρραβικῆς γέρρα γάρ πόλις τῆς
ἀρραβίας. λιβάνοιο δὲ ῥύσιν τὸ
περιέχεται τοῖς κλάδοις τὸ δάκρυον
τῆς λιβάνου. κέδρυνης δὲ οἱ μὲν τῆς κα
θ᾽ ἡμᾶς λεγομένης κέδρυνης, οἱ δὲ ἄλλου
τινὸς δένδρου ξυλολεπῆ ἔχοντος καρπὸν.
κέδρυον δὲ ὁμωνύμως λέγεται καὶ τὸ δένδρον
καὶ ὁ καρπός. ὠαστηραία τό τε χό
τινον καὶ τὸ ἐσθιόμενον. ἢ πιτυῆες
ἀπὸ κοινοῦ τὸ δάκρυον. ὀσχοφόροι



δὲ λέγονται ἀθήνησι παῖδες ἀμφιθα
λεῖς ἁμιλλώμενοι κατὰ φυλὰς οἱ λαμ
βάνοντες κλήματα ἀμπέλου ἐκ τοῦ
ἱεροῦ τοῦ διονύσου ἔτρεχον εἰς τὸ σκι
ράδος ἀθηνᾶς ἱερόν. νῦν δὲ ὁ νίκανδρος
ὄσχας λέγει τὰ τῆς πόλεως κλήματα.
ὄσχαι κυρίως οἱ κλάδοι τῆς ἀμπέλου
νῦν δὲ καταχρηστικῶς καὶ ἐπὶ τῆς πό
λεως εἶπε τοὺς κλάδους ὄσχας. κόμμι
δὲ τὸ κομμίδιον οὕτω γὰρ ἐστιν ἡ σύστα
σις αὐτοῦ ὡς κόμμεως. ὄφρα τὰ μὲν
τερραγμένοι. ὁ νοῦς οὕτως. ὅπως φη
σὶ τὰ μὲν ἐμέσῃ, τὰ δὲ πέψῃ ἐκλυθεὶς
ἐν ἐπὶ τοῖς ὕδασι τουτέστι λουτροῖς
ὅτε γὰρ ὑγρανθῇ τὸ σῶμα ὁ ἱδρὼς του
τέστι μετὰ τὸ ἱδρῶσαι αὐτοὺς ἔστ,
περιάλλακτον ἵνα εὐθέως ἐμβαίνῃ ἐς
τὴν ἔμβασιν καὶ χρονίσῃ μέχρις ὅτου
ἐκλυθῇ καὶ διαπέψῃ. κανθαρίδος
κανθαρίδες εἰσὶ τὰ χορτοφόρα καὶ
σιτοφόρα ζῶα οἱ λεγόμενοι κάνθαροι
ὧν ἡ κακὴ ὀσμὴ ὁμοία ἐστὶ πίσσῃ χυτῇ
ὅ ἐστι τῇ ὑγροπίσσῃ, ἡ δὲ γεῦσις
κεδρίοι μηδαμῶς ὅσον φησὶ ἐκεῖνο τὸ

ποτὸν δέξαιο. τὰ ψήγματα δὲ τῆς κέδρου
κεδρίδα λέγει κάρφη. αἵ δ' ὅτε μὲν πλαδόωντι
ἀντὶ τοῦ ὅτε μὲν λυγμὸν ποιοῦσιν ἐπὶ τῷ
διυγρῷ ποτῷ ποθέντι τῷ χείλει. ποτὲ
περὶ τὰ νέατα καὶ ἔσχατα τῆς γαστρὸς του
τέστι περὶ τὸ στόμα αὐτῆς ἢ περὶ τὸν στό
μαχον. οἱ μὲν οὖν στόμαχον ἄλλοι δὲ πύ
λην ἄλλοι δὲ δοχεῖον τῶν βρωμάτων
τὴν γαστέρα ὀνομάζουσιν. ἐκ δὲ τοῦ στό
μα γίνεται κατὰ συγκοπὴν τὸ στόμα ὡς
μνεία μνεῖα. χόνδρος τοῦ στομάχου ἐν
τρον· ὅθεν καὶ ὑποχόνδρια φαμέν. ἢ μέσ
τοῦ θώρακος μεθ' ὃ τὰ ὑποχόνδρια· ἀπὸ
κοινοῦ δὲ τὸ δάκνεται. ἄλλη δέ σφι τὸ
σφι παρέλκει. περιφραστικῶς δὲ ἤτρα
φῶτα ἀντὶ τὸν φῶτα ὅ ἐστι τὸν ἄνδρα.
οἷά τε δὴ γήρεα οὕτω φησὶ αὐτὴν ἡ
γνώμη ὡς ἀκάνθης ἄνθος. γήρεα δὲ τὰ
ἄνθη τὰ λευκὰ καὶ πολυειδῆ. σπάππο
δὲ ὁ καυλὸς αὐτῶν ἐξ οὗ φύονται
καὶ πίπτουσιν. ἡ αὐτὴ ἡ σύστασις. τῷ
δέ σου πολλάκις περὶ φαρμάκων καν

θαρίδων. τούτῳ δέ φησι τῷ φαρμακωμένῳ
σὺ τὸν γλήχωνα ταῖς ποταμίαις νύμφαις
τεύξας κυκεῶνα τουτέστι γλήχωνα μετὰ
ὕδατος. ἐμπλήδην δὲ ἀντὶ τοῦ πληρώ
σας. πόρσυνε ὅ ἐστι δίδου. νηστέρης δη
οῦς. ἱστορεῖται ὅτι τῆς κόρης ἤτοι τῆς προσεφόνης
ἁρπαγείσης ὑπὸ τοῦ πλούτωνος ἡ μήτηρ
αὐτῆς ἡ δηὼ περιήρχετο νῆστις ζητοῦσα
αὐτήν. ὑπεδέχθη δὲ ἐν τοῖς οἴκοις τοῦ
ἱπποθόοντος ὃς ἦν υἱὸς τοῦ ποσειδῶνος
ἐξ ἀλόπης τῆς κερκυόνος ὑπὸ τῆς γυναι
κὸς αὐτοῦ μετανείρας. ἥτις μετάνειρα πα
ρέθηκε αὐτῇ τράπεζαν καὶ ἐκέρασε αὐτῇ
οἶνον ἐπὶ τῇ θλίψει. ἡ δὲ θεὸς οὐκ ἐδέ
ξατο λέγουσα μὴ θεμιτὸν εἶναι πιεῖν αὐ
τὴν οἶνον ἐπὶ τῇ θλίψει τῆς θυγατρός. ἀλ
φίτων δὲ αὐτῇ κυκεῶνα ἐκέλευσε κα
τασκευάσαι, ὃν δεξαμένη ἔπιεν. ἰάμβη δὲ
τις δούλη τῆς μετανείρας ἀθυμοῦσαν
τὴν θεὸν ὁρῶσα γελοιώδεις λόγους καὶ σκώ
μματά τινα πρὸς τὸ γελάσαι τὴν θεὸν ἐ
λέξε. ὅσα δὲ τὰ ῥηθέντα ὑπ' αὐτῆς ἰαμ
βικῷ μέτρῳ ῥυθμισθέντα ὅπερ αὐτῇ προσ

ἔπεσεν. ἐξ ἧς καὶ τὴν προσηγορίαν ἔλαβον
ἴαμβοι λέγεσθαι. ἰάμβη δὲ θυγάτηρ ἠχοῦς
καὶ τοῦ πανός. θρᾷσσα τὸ γένος. μυρόεν δὲ
ποτὸν τὸ ἐν κακοπαθείᾳ δοθέν. ὅτι δὲ διὰ
πλήκωνος ἔπιεν ἡ δημήτηρ τὸν κυκεῶνα καὶ
διὰ τὴν χλεύην ἰάμβης ἐγέλασε, ἱστέα ἐν
τοῖς εἰς ὅμηρον ἀναφερομένοις ὕμνοις λέγει
ἀφύσιον ὑπὸ τοῖς παιγνιώδεσι λόγοις
τῆς θρακικῆς ἰάμβης καὶ τὰ ἑξῆς. ἀλλὰ
βλεχροῖο δὲ λίνου. τουτέστι τὴν κεφα
λὴν ἐνθήσαι σπέρματι λίνου ἤτοι τῷ
λινοσπέρμῳ καλουμένῳ. γράφεται καὶ
δι' ὀλχαλοιο λίνοιο. μορόεν. ἢ πολυέτη
τὸν ἢ μορίδιον ἀντὶ τοῦ [illegible] αἴσιμον
ὃ ἄν τις ἐπὶ τοῦ συμφέροντος ἐκδέξαιτο,
ἢ τὸ ἁρμόζον τῷ πάθει ὅμηρος. ἐπεὶ
κατὰ μοῖραν ἔειπεν. εἰς ὅ κεν ἐμέτῳ χορέ
σαιο ἀντὶ τοῦ ἕως ἐμέτου χορέσθητι. τὰ
δὲ φάρμακα ἀθρόα κάτωθεν ἀναβάλλοις
τοὺς δακτύλους καθεὶς διὰ τοῦ στόματος
εἰς τὴν φάρυγγα. ἐμάττειν γὰρ ἔλεγον τὸ
καθιέναι τοὺς δακτύλους εἰς κοῖλον τόπον
ὅμηρος. ἐγγὺς ἀνὴρ ὃς ἐμόν γε μάλιστα ἐπὶ
μάσσατο θυμόν τουτέστι καθήψατο



τῆς ψυχῆς καὶ οἷον ἐνέβαλεν εἰς τὴν αὐτοῦ
χεῖρα. ἐμμάττειν δὲ τὸ εἴς τι καθιέναι
καὶ ἅπτεσθαί τινων. βούλεται οὖν δηλοῦν
τὸ καθιέντα τοὺς δακτύλους ἐμεῖν βιά
ζεσθαι ἔτι τοῦ ληφθέντος ἐν τῇ κοιλίᾳ
πεφαρμαγμένου καὶ μήπω διὰ τῆς πύλης
ὡρμηκότος πρὸς ἀνάδοσιν. τότε γὰρ μετ' αὐ
τῆς τῆς τροφῆς συνανενεχθήσεται καὶ τὸ
φάρμακον. μεμιασμένα δὲ δόρπα ἀν
τὶ τοῦ ἄπεπτα καὶ ῥυπαρά. καὶ με
μιασμένα τὰ δόρπα τοῖς ἰοβόλοις φαρμά
κοις ἀναβάλλων ἐν τῇ πύλῃ τῆς γαστρὸς
καθεὶς τοὺς δακτύλους. νέον γλάγος νε
ωστὶ ἀμελχθὲν γάλα βαλὼν ἐν χαλκῷ
δὸς ἐκπῶμα φησὶ διὰ τῆς ἕδρας ὅπως
ὑποσύρῃς τὴν γαστέρα. ἀμφόδια δὲ
τὰ ἀμφοδεύματα· οἷον τὰ ἀπόθετα τῆς
ὁδοῦ ὥσπερ ἀποπατήματα τὰ ἀπόθετα
τοῦ πάτου ἤτοι τῆς ὁδοῦ. ὅμηρος πά
τον ἀνθρώπων ἀλεείνων. ἠὲ σύ γ' ἀμπε
χόεντα. κόψαι κελεύει κλήματα
ἀμπέλου χλωρὰ σὺν τοῖς φύλλοις καὶ
ἐν γλεύκει ἢ μελίτι ἑψήσας τι δοῦναι
σπιδῆ. τοῦτο γὰρ σπφραδεκτέον. ἀφα
ρῆς

δὲ ῥίζεα γαίης τῆς πετρώδους καὶ ὀρεινῆς
γῆς· ἐν τοιαύτῃ γὰρ γῇ ἡ βοτάνη γίνεται
αἰεὶ δὲ καὶ θήεντα· διὰ παντὸς τὰ χλοάζοντα
ἔχοντα ὕλη· τουτέστι τοῖς χλωροῖς φύλ-
λοις. ἡ μολόθουρος, βοτάνη ἐστὶν ἀλθα-
λῆς δέ· διὸ καὶ ἀσφοδέλῳ φησί. πλῶκες
ἀγχλωρεῖσι ταύεσκον μολοθούροις. ἐνὶ
ἄνα δὲ χαυλέα ἀντὶ τοῦ ἰανὰ καὶ κα-
λαμώδη καὶ λεπτὰ χαυλᾶ ποιεῖ. τὰ
γὰρ ἐξ ὕδατος ἀναβρέχοντα φυτὰ λεπτὰ
χαυλᾶ ποιοῦσι. παρθενία οὐχ ἡ
σάμος ἀλλά τις ἐν αὐτῇ εὑρεθεῖσα
γῆ. φυλλὶς δὲ τὸ καλούμενον γεωφάνιον
ἐν σαμοθράκῃ καὶ μελιφύλλιον ἐκαλεῖτο.
νίκανδρος δὲ φυλλίδα καλεῖ. κελεύει οὖν
τέσσαρας δραχμὰς σαμίας λαμβάνειν.
παρθενία γὰρ ἡ σάμος ἐκαλεῖτο καὶ φυ-
λλὶς μία τῶν νυμφῶν τῶν σαμίων ἀσε-
ρα λέγει ὅτι δοκεῖ κριὸς ἐν σάμῳ εὑρη-
κέναι. φυλλὶς γὰρ ἡ σάμος ἢ φυλλάδα
τὴν βοτάνην ἰδίως καλεῖ ἣν τινες μελί-
φυλλον φασίν. εἰς τὸ χρήσιμον ἀφ' ἧς λέ-
γεται. ἡ φυλλὰς οὖν ἡ μελισσόφυλλός
ἐστι. ἰμβρασίδος τῆς σαμιακῆς. ἴμβρ-
γάρ ποτε ἐν σάμῳ ἦν κριὸς λέγεται

εὑρηκέναι. ταύτης δὲ τὸ χρησιμώτερον ἀκμὴ
καλεῖται. ἑξῆς βούλεται ἡμᾶς ὁ νίκανδρος
λαμβάνειν. ἀμνός ἐστιν ὁ μηδέπω κεράστ.
ἔχων. πῶς οὖν αὐτὸς κεράεντα εἶπεν αὐτὸν
οὐκ ὀρθῶς; χνοιὰς δὲ προβάτων ὠχνησαμένη
σάμῳ, ἤτοι τὰ ἄξυ παλαιοῦ. διπλήρεα
διπλῆν κελεύει ποσότητα τῶν τεσσάρων δρα-
χμῶν δοῦναι ὅ ἐστιν ὀκτὼ δραχμῶν. καὶ
σὺν τῷ ἐκθήματι πηγανίου κλῶνας δοῦ-
ναι καὶ ἔρδινον μύρον ἢ ἴρινον μύρον.
ὀργάζων δὲ ἀντὶ τοῦ μιγνύων τὴν γῆν τὴν
παρθενίαν, ἢ καταβρέχων ἐλαίῳ ἐρδίνῳ τῷ
ἀπὸ ἴριδος γινομένης μύρῳ. ἤγουν ἐλαίῳ
τουτέστι τὸ ἔρδιον ἐλαίῳ μίξας ἢ ἄλειφον με-
τὰ πηγάνου κλάδων. ἦν γε μὲν ὡς πρὸς
δεύτερον πρόσωπον ἀποτείνεται περὶ
ἑτέρου τινός. περὶ τοῦ ἀγρίου δὲ κηρίου
τῆς βοτάνης λέγει. εἴδη γὰρ ταύτης εἰσὶ δύο
ἥμερόν τε καὶ ἄγριον. ὧν τὸ μὲν ἥμερον εὐ-
ῶδές ἐστι καὶ ἡδύ. τὸ δὲ ἄγριον παραπλή-
σιον τῷ ἡμέρῳ πλατυφυλλότερον δὲ καὶ
εὐμηκέστερον καὶ πολλὰς ἔχων παραφυά-
δας καὶ πολύρριζον καὶ πολυανθές.
τοῦτο δὲ βρωθὲν ἢ ποθὲν ἢ ἄλλως πως
προσενεχθὲν θανάσιμον. ἀφαρέως δὲ

ἐστὶν ὅ ἐστιν ἀφρόνως καὶ ἀπείρως. τὸ γὰρ χύλισμα τοῦ χορίου τῆς γεύσεως ἀλλότριον ὑπάρχον οὐ δύναται λαβεῖν διδόμενον, εἰ μή τις αὐθαιρέτως αὐτὸ βουληθείη λαβεῖν ἐν καιρῷ τῆς περιστάσεως. λαβραγοῦσιν. ἐν τῷ δήμῳ λάβρως φωνοῦσιν καὶ Ὅμηρος. τί πάρος λαβρεύεαι; καὶ Αἰσχύλος. μὴ λαβροστόμει. παραπλῆγες δὲ ἀντὶ τοῦ παράφρονες. τὸ δὲ ἑξῆς. παραπλῆγες τοῦ οἴστρου. ὁ δὲ οἶστρος ζωόν τί ἐστιν ὅμοιον μελίσσῃ, μυίᾳ, κέντρον ἔχον ἐπιμήκες. ὀξὺ δὲ μῆκος τὸ διατεταμένον καὶ μέγα. καὶ ἀταρμύκτῳ. ἀφόβῳ. ἀπὸ δὲ τοῦ τάρβους καὶ τοῦ μύειν συντίθεται ἡ λέξις. Πράμνιος οἶνος ἀπὸ ἀμπέλου Πραμνίας. ἣν καὶ λιβίαν τινὲς καλοῦσιν. αὐτοκρηές δὲ ἀντὶ τοῦ αὐτοκέραστον. ἀμιγές ἄκρατον. ἁλὸς δὲ ἔμπλεα κύμβην ἀντὶ τοῦ πεπληρωμένην τοῦ θαλασσίου ὕδατος τὸ κύμβιον. τὸ δὲ ὀρταλίχων ἀπαλῶν γράφεται καὶ ἀλαλῶν. ἤτοι ὅτε ἐστέρηνται τοῦ λαλεῖν. ἢ ὅτι χωρὶς στεναγμοῦ τίκτεται. πολλάκις δ' ὀρταλίχων ἀπαλῶν ὠδῖνα· νῦν τοὺς ὄρνιθας λέγει. οὐ γὰρ τὰ νήπια ὡς τοκεῖς ἀλλὰ τὰ τέκνα ἡ μήτηρ κελεύει



τὸ ᾠὸν κενῶσαι καὶ ἀφρὸν θαλάσσης συμμιγνύντα πληρῶσαι. ὅτι ἀφρὸς τροφὴ τοῦ κέπφου ἐστὶ καὶ θανάτου αὐτῷ παραίτιος γίνεται. οἱ γὰρ ἁλιεῖς χερσὶ τὸ θαλάσσιον ὕδωρ ἀναχλύζοντες ἀφρὸν προσενεγκεῖν καταναγκάζουσιν καὶ τοῦτον δολίως τῷ κέπφῳ προτείνουσιν. ὁ δὲ τὸν ἀφρὸν λαβεῖν ἐφιέμενος εἰς τὰς χεῖρας αὐτῶν ἔρχεται καὶ οὕτω θηρεύεται. ὁ δὲ κέπφος θαλάσσιόν ἐστιν ὄρνεον παραπλήσιον λάρῳ ὅπερ ὡς εἴρηται ὑπὸ τῶν ἁλιέων ἁλίσκεται. ἀπαλὴν δὲ ὠδῖνα τὴν ἐστερημένην βίας, ἐπεὶ τίκτουσι χωρὶς ἀλγηδόνος. ἀγλευκῆ ἀγλυκῆ καὶ πικρὰν καὶ ἐστερημένην γλεύκους ὅ ἐστι γλυκύτητος. ἀτμενεῖν δὲ ὅ ἐστι δουλεύειν, ὑποκεῖσθαι ὡς μῦθος γὰρ λέγει ὅτι ἀνέμ θάλασσα καὶ πῦρ δουλεύει. καὶ θάλασσα μὲν δεσπόζει νηῶν, πῦρ δὲ ὕλης. ἀτμενεῖν δουλεύειν. ἀτμενεῖς γὰρ οἱ δοῦλοι. ὅτι δὲ δουλεύει ἡ θάλασσα καὶ τὸ πῦρ ἀνέμοις κατὰ θεῖον νόμον δηλονότι καὶ Μενεκράτης εἴρηκε· πῦρ μὲν ἀείζωον καὶ τὸ ἀχύνετον ὕδωρ ἔθρεψε τοὺς ἀργέστας οἷον δὲ τοὺς ἀνέμους. ἀχύνετον δὲ τὸ πολύχυτον. τὸ α γὰρ ἐπιτατικόν ἐστιν.

ἐκπιέσασθαι σὺν βούλεται διὰ τούτων ἡράκλειτος ὅτι πάντα ἐναντία ἀλλήλοις ἐστὶ κατὰ αὐτόν. ἀκοσμήεσσα ἡ ἄκοσμος ἡ ἄτακτος ἡ μὴ κοσμίως κινουμένη. φιλορρηγὴς δὲ διὰ τὸ ῥοῶδες ἡ φιλοῦσα ὀργίζεσθαι καὶ ὀργὴν καὶ μαίνεσθαι διὰ τὰς τρικυμίας. σεισοπυκνῶν τῶν θαλάσσῃ ὑπόκειται τὰ πλοῖα τῶν δὲ πυρὶ ἡ ὕλη. ἐμφθορέων αἰζηῶν τῶν ἐν θαλάσσῃ φθειρομένων. ἡ δὲ ὕλη ὑπακούει καὶ πείθεται κατὰ τὸν θεσμὸν τοῦ αἰθομένου πυρός. οὐ καθόλου τὸ πῦρ αἰθόμενον λέγει ἀλλὰ τὴν ὕλην αἰθομένην διὰ τὸ ἀφανίζεσθαι αὐτὴν ὑπ' αὐτοῦ. ἀτρύγετον πολυσπούδαστον καὶ πολυκάτρυγαστον ἤτοι τὸ μετὰ πολλοῦ καμάτου διὰ τὴν τοῦ ἁλὸς σκευασίαν ἣν οἱ δοῦλοι καὶ οἱ γεωργοὶ κατεσκεύασαν οἱ τὸ θαλάσσιον ὕδωρ. ἐπεὶ καὶ ἀνωτέρω εἴρηται. ἦν τε καὶ ἀτρυγέτην κηδεί δὲ ... μιγνύντα μετὰ οἴνου νεωστὶ πεπατημένου ... ἢ χιόνα μετὰ γλεύκους. ζάγκλῃσι ταῖς δρεπάναις τῶν τρυγητῶν ῥυσαλέην δὲ τὴν ἐρρυτιδωμένην ἤτοι

τὴν πεπανθεῖσαν καὶ πέπειρον. καὶ ἐλαίνοιο τοῦ γλυκυτάτου γλεύκους. σιβία δὲ ... δος ἀμπέλου ἥτις καὶ πραμνία λέγεται. καὶ ... τοῦ κλάδου τῆς ἀμπέλου κόπτοντες πατοῦσι καὶ πιέζωσι ὅτε ... δα αἱ μέλισσαι ... ῥάξι τῶν βοτρύων πεσοῦσαι νέμονται τὸ γλεῦκος καὶ τὸ γλάγος. πεμφρηδὼν ζῶον ἐστι τῶν σφηκωδῶν, μεῖζον μὲν μύρμηκος μελίσσης δὲ ἔλασσον. ἐπτέρωται καὶ ποικίλην ἔχει ... καὶ μέλαιναν ... φαίνει. τοῦτο κατὰ τὴν ὀρεινὴν νεμόμενον δρέπεται ἀπὸ τῶν ἐν τοῖς ἄγκεσι θάμνων πάντα ἄνθη, καὶ φερόμενον εἰς τὰς κοίλας καθίπταται δρῦς. καὶ αἱ βεμβίδες δὲ τῶν σφηκωδῶν εἰσιν εἶδος μελισσῶν. ἃς ἔνιοι βέμβικας καλοῦσι. ταῦτα δὲ πάντα εἴδη μελισσῶν εἰσι. ἃ δὴ ἐπινέμεται πεπείρους ὄντας τοὺς βότρυας. κικὰς ἡ ἀλώπηξ ἤτοι κακωτική. κακοποιός, κακοῦργος. ἡ χλευαστική. καλλίμαχος κικάδι σὺν γλώσσῃ. καὶ τε σὺ κάνθον. τοῦτο οἱ μὲν κροκεανόν οἱ δὲ κορείανον, οἱ δὲ ἀγνησοάδες καλοῦσι. σημαίνουσι δὲ τοῦτο τὸ κιθηρ βαρβάρ... φοινὸν δὲ ἀντὶ τοῦ πεφοινιγμένον ἢ ὀξέ

θρι), φόνιον ἤτοι καθὰ πλεονασμὸς τοῦ ι.
ἴγνυσι δὲ σφαλεροῖσι· σφαλλόμενοι ὁ
τοῖς σκέλεσι ταῖς χερσὶ βαδίζουσι· ὅ ἐστι
περιπίπτοντες ἐπιφέρονται αὐταῖς. στεινὼ
δὲ ἐμφράσσεται οἶμον· ἤτοι τὰ ἐσωτέρω
καὶ κατωτέρω τοῦ στόματος. περὶ
δὲ φλέβες αἱ ἀρτηρίαι φησὶ μεγάλως
σφύζουσιν ἢ περιερρωμέναι συστήνονται.
ἀτύζει δὲ ἀντὶ τοῦ ἀτενίζει, βλέπει
νῶν ἢ ἤχει ὅτι ἐς τὸν ἀέρα καὶ ὀλίγον
ἀναπνεῖ. ἠχοῖ ἐπὶ τῆς ταραχῆς αὐ
τὸ τέθεικεν, ὅμηρος ἐπεὶ παιδὸς φίλου
ὄλλυσιν ἄτη ἰχθύς. γλάφεται καὶ ἀλύει·
οἷον ἤρεμα παύεται ἀλύει. καταβολὲ
λειποθυμ τὴν ὑστάτην ἀφθεγμένην ἔχων·
ὁ ἀσθενὴς οἷα ἐν καταβολῇ ὢν καὶ κάτω διὰ
λειποθυμίαν βλέπων ὀλίγον ἀέρα
διὰ τῆς ἀναπνοῆς ἕλκει τὸν θάνατον
ὀφθὸν καταπίπτοντα. ἢ ἐς σύγκλυσιν
τεῦχος παρασκευάσει ἐμβαλών, ἀντὶ
τοῦ παραπέμψας. ἐν δὲ τῷ μὴ λέγειν
κλυστῆρα ποῖον, δηλονότι κοινὸν λέγει.
δάφνης δὲ τεμπίδος θεσσαλικῆς διότι
πρώτη ἐκεῖ εὑρέθη. κάλεσε δὲ καὶ
τὴν δαφνίδα ἐπεὶ διὰ τὸ τὴν κόρην δι



ωκομένην ὑπὸ τοῦ ἀπόλλωνος εἰς τοῦτο
τὸ φυτὸν μεταβληθῆναι ἐξ οὗ ἔχει
τὸ ὄνομα δάφνη γὰρ ἡ κόρη ἐλέγετο
καὶ ἀπόλλων ἰδὼν αὐτὴν μεταβληθεῖσαν
εἰς τὸ φυτὸν ἐξ αὐτοῦ τοῦ φυτοῦ ἐστέφα
το. λέγει δὲ ἡ ἀπὸ δάφνης καθὰ κοινοῦ
ποσὶν δίδου. τουτέστι δαφνέλαιον δίδου
ποιεῖν. ἢ ἐπὶ κνίδης κνίδην λέγει τὴν
ἀκαλήφην· εἴρηται δὲ καὶ ἀμφότερα διὰ
τὸ κάλφεσθαι καὶ κνήθεσθαι· ἔστι δὲ καὶ
θαλάσσιον ὄρνεον ἀκαλήφη λεγόμενον.
φησὶ γοῦν ὅτι καὶ κνίδης σπέρμα σὺν πε
περὶ λεάνας διὰ τὸ σφοδρὰ θερμαίνειν,
τικὸν δίδου χρῆσθαι. ἐμπολχεῖ δὲ
χρανας ἀντὶ τοῦ μίξας τοῖς πικροῖς
ποτοῖς λέγει δὲ τοῖς κυρηναϊκοῖς. ἰρι
νέου· τὸ ἀπὸ τῆς ἴριδος βοτάνης γινό
μενον ἔλαιον. ἴρινον ὁ μύρον λέγει. αὐ
τὴ ἡ βοτάνη εὔτονος ἐστί. παραλέλοι
πε δὲ τῆς ποσὸν τὴν ποσότητα. κε
λεύει δὲ καὶ σιλφίου ῥίζαν ξεῖναι ταῦτα
μετὰ λευκοῦ ἐλαίου παρέχειν πίνειν.
τὸ δὲ σίλφιον καὶ ῥιζίον κυρηναϊκὸν
καλοῦσι τινὲς ἐξ οὗ γίνεται ὁ ὀπός. νῦν
δὲ περὶ τοῦ ῥιζίου φησί. μὴ γ' ἰζώροιο
ἀντὶ τοῦ μὴ γηκράτου. καὶ γάλακτος

δὲ τὸ ἀφρῶδες τουτέστι τὸ ἐπιπολῆς
καὶ πεπηγὸς ὡς ἀφρὸς νέμεται πυρὸς
θάλπας τὸ τεῖχος ἠρέμα δέξαι θέρμα
νας. καὶ κεχρισμένῃ τι· ἡ σύνταξις οὕ
τως. καὶ τὸ ἐπὶ τῷ κεχρισμένῳ τοξικοῦ
ἄχθος ἐπαμύνοις καὶ ἀποδιώξοις.
προσφαγεῖν ἀντὶ τοῦ παραχρῆμα. λέ
γεται δὲ τὸ οὕτως ἵνα ἢ οὕτως ἀμύνοις
καὶ διώξοις. τοξικὸν δὲ καλεῖται τὸ
τοιοῦτον φάρμακον διὰ τὸ ὁμοίως τοῖς
τοξεύμασιν ἀναιρεῖν παραχρῆμα βρωθὲν
ἢ ποθέν. ἢ ἐπεὶ οἱ πέρσοι καὶ σκύθαι
τοξεύοντες τούτῳ παραχρίουσι τὰς τῶν
βελῶν ἀκίδας. οὐ γὰρ ὥς τινες τὸ
κώνειον νομιστέον. ἢ διότι ὁμοίως τόξου
ἀφέσει ἀναιρεῖ βρωθὲν ἢ ποθέν. λέ
γεται ὑπό τινων καὶ σκυθικόν. ἄλλοι
δὲ λέγουσιν ὅτι ἐκ τοῦ αἵματος τῆς ὕ
δρας ἀνεφύη. τὴν δὲ ὕδραν τόξοις ἀνεῖ
λεν ὁ ἡρακλῆς καὶ διὰ τοῦτο τοξι
κὸν καλεῖται. ἠδ' ἤτ' ἀχέεσσι βαρύνη
ται. ἡνίκα πιών τις βαρύνηται ὑπὸ
τῶν ὀδυνῶν. παφλάζεται ἢ οἰδαίνεται
φυσᾶται καὶ τὰ οἰδαλέα διῳδηκότα
καὶ ἐξωγκωμένα. ξηρὸν δὲ ἀνὰ πτύα



ἐπειδὴ ξηραίνεται τὸ δηλητήριον. τὰ δὲ οὖ
λα τῶν ὀδόντων ἐκ βάθρων ῥηγνῶνται.
ἔμπληκτον μανιῶδες. μεμόρηκεν ἐ
κλήρωσεν περὶ τὴν μοῖραν. μυκᾶται ὅ
ἀντὶ τοῦ μυκᾶται ὡς πρόβατον οἱονεὶ
οὕτω βοᾷ καὶ κράζει φλυαρῶν ὑπὸ
τῆς μανίας· καὶ οἱ ἰταλιῶται τοὺς
φλυαρογραφοῦντας φλυακογράφους ἐ
κάλουν. δηθάκι δ' ἀχθόμενος σείων
χῶς ὅ φησι βοᾷ. ἐμπιπλάδην οἱονεὶ
ἐμπληκτικῶς καὶ ὁρμητικῶς ἀχθό
μενος ὁποία τίς φῶς. ἢ ἀνηρεῖ
ἀμφιβρότην κόρσαν ἀποδμηθεὶς ξίφει
τοῦτο γὰρ τὸ ἀποδμηθείς. κόρσαν δὲ
νῦν τὴν κεφαλὴν καὶ ἀμφιβρότην τὴν ὅ
λον τὸν ἄνδρα συνέχουσαν κεφαλήν.
ἡ γὰρ κεφαλὴ συνέχει ὅλον τὸ σῶμα.
καὶ ὅμηρος· κόρσαι φησὶ τὴν κεφαλὴν
ὅθεν ἔφη κόρσαν ἀναφαλῶν. ἄλλως καὶ
γάρ φησιν ἐνίοτε πλησιάζοντος αὐτοῦ
ἀνθρώπου τινὸς μισανθρωπίαν νοσ
καὶ βαρούμενος προΐεται φωνὴν ὡς
ἀποκεφαλιζόμενος. τοῦτο γὰρ ἀπε
πλανηθεὶς ἐκ τοῦ ποιητοῦ καὶ κακῶς

νόησας τό. φθεγγόμενοι δ' ἄρα τοῦ γε κακά
κερνοφόρος ἡ τοὺς κρατῆρας φέρουσα ἱέ
ρεια. κέρνους φασὶ τοὺς μυστικοὺς κρατῆ
ρας ἐφ' ὧν λύχνους τιθέασι. ζάκορος
δὲ ἡ νεοκόρος καὶ βωμίστρια καὶ ἱέρεια
τῆς κρατηφόρου ῥέας. τῇ γὰρ ἐνάτῃ τοῦ
μηνὸς τὰ μυστήρια αὐτῆς ἐπιτελοῦσιν
οἱ ἢ φασι τῇ ἐνάτῃ τῆς σελήνης. τότε
γὰρ κατὰ τὴν σελήνην ἐμέριζον τὸν
ἐνιαυτόν. ἰδαίης δὲ τῆς ὀρεινῆς. ἴδη
γὰρ καταχρηστικῶς πᾶν ὄρος καλεῖται.
βρύουσιν ὅ ἐστιν. οἱ κορύβαντες ἢ οἱ περι
τυχόντες φοβοῦνται ὅτε ἴδωσι τὸν
ὑψηλὸν ὑλαγμὸν ἀφιᾶσιν. βρυχα
νάαται γράφεται καὶ βρυχανάαται
βρυχᾶται. κλαυθμυρίζει ὡς παιδίον
φωνεῖ ἢ δακρύει ὡς μένανδρος. ὠρυδόν
ὅ ἐστι ἀντὶ τοῦ μετὰ φωνῆς γλυκὺς ὠρυό
μενος. καὶ ταυρώδεα λοίσθιον ἀντὶ
τοῦ κατὰ τὸν ταῦρον. τὸν μὲν καὶ
δεσμοῖσι διὰ μὲν τὸ ἄζαι τὸν αὐτοῦ
δέσας φησὶ προσένεγκε αὐτῷ βο
ηθήματα. καὶ μὴ καταδεχόμενα
καὶ μὴ θέλοντι κατὸ ὀλίγον οἶνον διδοὺς



κόρεσσον ἢ μεθυσθῆναι ποίησον. ἀνενοχλή
τως δὲ βιαζόμενος τῇ σῇ χειρὶ ἄνοιγε τὸ
μεμυκὸς αὐτοῦ στόμα ἕως οὗ ἐμέσῃ καὶ
μετὰ τοῦ γλυκέος ἐμέτου πότισον αὐ
τὸν ζωμὸν πολὺν χήνειον. πρόσφερε δ'
αὐτῷ καὶ τῶν ἐαρινῶν ἀγελαίων ἢ ἡ
μέτερον μὴ λεπτῶν τὰς σάρκας ἑψήσας τὸ
βρῶμα αὐτῶν. ἐὰν δὲ μὴ θέλωσι ταῦτα
τῶν λεγομένων στρουθομήλων ὁλοσχερῶς
ἐμφόρησον αὐτόν. νέκταρι θωρή
ξαιο τουτέστι τὸν θώρακα πλήρωσον
καὶ χόρτασον αὐτὸν οἴνῳ γλυκεῖ καὶ
μὴ χρήσοντι ἤρεμα βιαζόμενος καὶ
μὴ κακώσῃς αὐτόν. βρυχὸν μεμυκός
στομώσας γὰρ τοὺς ὀδόντας τὸ βρυχὸν
αὐτοῦ στόμα φησίν ἢ τὸ ἔσω δεδεμένον
καὶ σφιχθέν. ὄχλισσον οἷον ἄνοιξον
ὡς ἂν ταῖς λώβαις ἐμέσῃ βιαζόμενος
καὶ νικώμενος διὰ τοῦ ποτίζειν αὐ
τὸν τῇ χειρί σου. ὑγρὸς μεμορημένον
ἀντὶ τοῦ δεδασμένον καὶ ἐπιτηδεύεντα
τὸ σπινεί. μηλάδος δὲ τῆς μηλέας
τὰ κάρφη ἢ τὰ βρυάδα. γράφεται δὲ
καὶ ῥηχώδεος καὶ τρηχώδεος. ἀμφότερα
περὶ κατὰ τοῦ αὐτοῦ σημαινομένου τῆς

βαλεῖν. τὰς οἰναντικὰς ἀκάνθας ἀποβα-
λεῖν ἢ μᾶλλον τὰ ἄνθεμα τὰ τῶν μήλων
λεπίσας ἔσθιε. ἠέ τι κληρέσσιν. ἢ ἐν
μέτοχα τοῖς ἡμετέροις χωρίοις· τουτέστι
τὰ τοῖς ἡμ(ετέροις) κλήροις ἤγουν κήποις τῶν
βαλόντος οἷον εἰ τὰ ἡμέτερα. ἐν ἑλκή-
ματι· ὃ τὰ παίγνια. παίζουσι γὰρ
αἱ κόραι καὶ τρώγουσι τοῖς μήλοις·
καὶ τὰς στρουθία δὲ γένη μήλων. οἱ δὲ
φασὶν εἶδος βοτάνης. βλοσυροῖο κυδῶνος
Cydonium pomũ unde — τοῦ στυπτικοῦ κυδωνίου ὃ μάλιστα ἐν
Κρήτῃ φύεται. ἐκόμισαν δὲ ἀναύροι-
τουτέστιν ἔτρεψαν αἱ ὄχθαι τῶν πο-
ταμῶν τὰ κυδώνια. ἅλις· ὃ ἀντὶ τοῦ
ἱκανῶς. καὶ ἀολλέα ὁμοῦ ὄντας. ὀδ-
μήρεα γλήχω· ὀσμὴν ἔχουσαν ἡδεῖαν. ῥο-
δέοις δὲ τοῖς ῥοδίοις ἢ ῥοδίνου ἐλαίου
καὶ θυόεν μαλλοῖσιν ἀφυάσσων παῦρα
λίπος· ἀντὶ τοῦ θυόεν ἐν τοῖς ῥο-
δίοις ἐλαίου ἤτοι τὸ ῥόδινον στάξε μετὰ ἐρί-
ου ἐς τὸ στόμα αὐτοῦ. ἰρινέου δὲ τοῦ
ἀπὸ ἴριδος γινομένου μύρου καὶ ἀκρο-
σφαλὲς τὸ ἀκρωσφαλὲς. γερραῖοι



ἔθνος Ἀραβίας ἀπὸ Γέρρας μιᾶς τῶν πό-
λεων αὐτῆς. νομάδες δὲ νομάδα βίον
ἔχοντες. τούτῳ φησὶ τῷ τοξικῷ φαρ-
μάκῳ οἱ ἐν τῇ Γέρρᾳ τῆς Ἀραβίας καὶ
οἱ περὶ τὸν Εὐφράτην πρὸς τὰς αἰχμὰς
αὐτῶν χραίνουσιν ὅ ἐστι βάπτουσιν. οἱ
γερραῖοι τῷ τοιούτῳ φαρμάκῳ βουλόμε-
νοι χρῆσθαι καὶ τοὺς ἀποπεσσενεγκαμένους
τοῖς δεδηγμένοις βοηθήμασιν ἰᾶσθαι οὕτω
δοκιμάζουσι τὰ ἀλεξιφάρμακα. πρῶτον
τοῦ ἑαυτῶν ποδὸς χαράξαντες αἷμα ἀφι-
ᾶσι καὶ εὐθὺς προσάπτουσιν ἀπὸ τοῦ
φαρμάκου. ὅταν δὲ τὸ φάρμακον διὰ
τοῦ αἵματος ἀναδράμῃ τάχιον τοῖς βοη-
θήμασι τούτοις καθαίρουσιν αὐτὸ πρὶν
ἐμπεσεῖν τὸν ἰὸν ἐν τῇ καρδίᾳ. σέφος δὲ
τὸ ῥῆμα ὅπερ οἱ Ἴωνες σέρφος φασί. διὸ
καὶ σερφῶσαι λέγομεν ἐν τῇ συνηθεί-
ᾳ. ἣν δὲ τῆς Μηδείης· ἤτοι τὸ ἐφήμερον σκευ-
αστικόν ἐστι φάρμακον ὃ καὶ οἱ βάρβα-
ροι νάφθαν καλοῦσι· ὃ οἱ χριόμενοι
ἢ ἱμάτιον ἀληλιμμένοι ὑπ᾽ αὐτοῦ
φοροῦντες ἢ ἄλλο τι ἐὰν ἔναντι ἡλίου στῶ-
σιν ὡς ὑπὸ πυρὸς κατακαίονται δια-

παυόμενοι. ἄριστα καυστικά. δοκεῖ δὲ ἡ μὴ
διὰ τὴν κατασχοῦσαν αὐτοῦ εὑρηκέναι γῆν
καὶ κολχικὸν λέγεται. οἱ δὲ ἴδιον αὐτὸ προσ-
αγορεύουσιν. ἄλλοι ἐφημερικόν. ἕτεροι ἐφή-
μερον διὰ τὸ ἔσωθεν ἀναδιδόσθαι κατὰ
τὸν ταναΐν ποταμὸν ἢ τὴν κολχίδα. τῇ
γὰρ μεσημβρίᾳ ἡττοῦσθαι πρὸς ἑσπέραν
δὲ ἀναιρεῖσθαι. ἢ διὰ τὸ ἡμέραν ὅλην μὴ
δύνασθαι ἐξαρκεῖν τοὺς πιόντας αὐτὸ
τὸ ἐφήμερον. ἐν μὲν τῇ γεύσει εὐθὺς τὰ
ἔξω τῶν χειλέων κινεῖ πρὸς κνησμὸν ὡς
ἀπὸ γάλακτος συκῆς ἢ σκίλλης ἢ κνί-
δης, ἐν δὲ τῇ καταπόσει ἐσθίων τὸν στόμαχον
καὶ δηγμοὺς ἱκανοὺς παρέχον βάρος εἰς
αὐτὸν ἐνίησιν. ἔπειτα σφοδρῶς αὐτὸν
καταξέσας ἤχει τοσοῦτον ὥστε ποτὲ ἐμεῖν
ὅμοιον πλύματι κρεῶν θολερῶν
ποτὲ δὲ καὶ κόπρον προϊέναι. βοηθεῖ
δὲ τοῖς πεπωκόσι τὸ φάρμακον γάλα
ποθὲν ἐναποβεβρεγμένων εἰς αὐτὸ
δρυὸς φύλλων. ποιοῦσι καὶ τὰς περὶ τὴν
κεφαλὴν θάλψεις ἢ γάλακτος βοείου προσ-
αγωγή. τοῦ μὲν γινομένου εἰς κόρον,
θερμοῦ, τοῦ δὲ ἐν τῷ στόματι πηγνυμένου

βοηθεῖ δὲ καὶ ὁ βλαστὸς τοῦ πολυγόνου
καὶ ἡ ῥίζα καταποθεῖσα καὶ ἐν γά-
λακτι ἑψηθεῖσα ἢ ἐν ἀποβρέγματι
μήλων ἢ κυδωνίων ἢ στυπτικῶν μύρ-
των ἢ ἑλίκων ἀμπέλου ἢ βάτου κλάδων
καὶ τοῦ ἑρπύλλου τὰ φύλλα ἑψηθέν-
τα ἐν ἀποβρέγματι τῶν ἐνδοσθίων τῶν
νάρθηκος ἢ σαρδιανῶν βαλάνων καὶ
ποθέντα. βοηθεῖ καὶ ἡ ἐντεριώνη τοῦ
νάρθηκος λελειωμένη ποθεῖσα. βοη-
θεῖ δὲ καὶ ἡ ὀρίγανος λειανθεῖσα. νυμφό-
σαι λευκῷ. διὰ τῶν ὀπῶν τῆς συκῆς
τῷ ὑγρώδει δὲ ἀσθματώδει ἢ πολλαῖς
περιβολαῖς καλυπτομένῃ. αὐτὴ γὰρ
ἡ βοτάνη ἐν τῇ κεφαλῇ τὸ ἆσθμα ἐστὶν
ἢ ἀσφοδέλει τῇ πολλὰ ἄνθη. ἢ ἐν
σώματα ἔχουσιν. γένη φοινίκων τὸ σάρκα
ἢ τὴν ἁπαλὴν σάρκα ἐπυρέκτωσεν
ἐσθιόμενοι ὁ καταποθέντα. ἄνθεμον
μένον ἢ ἀνερευγόμενον τῇ περιεχόμε-
συρμῷ δὲ τῇ ζέσει καὶ τῇ ὀλεθρίᾳ
καύσει τὸν στόμαχον ἑλκωθέντα. κακ-
δαιμον ἠρυγε ἀφρώδης. ἀπήμεσε δὲ ἐπειδ
θολερὸν πλύμασι ὁ κρεῶν ὁ μάγειρος

ἐχλέες, τοιοῦτόν φησι ῥυπαρὸν καὶ ὄζον. σω
ἀποβάλλει δὲ καὶ ὁ ἡ νηδὺς μεμιασμένα
ἀποπατήματα ἤγουν ἀφόδευσιν. ἄλλα σοῦ
πολλάκι μὲν· πολλάκις μὲν καὶ τῆς
φηγοῦ τὴν καρπὴν βάλλοις ὁμοῦ τοῖς ἀ
χύλοις, τουτέστι τῶν ἀγρίων. οὐλάδα
δὲ τὴν ὑγρασικήν. ὅ ὑλέτε καὶ μέγα χαί
ρε. πολλάκι δὲ καὶ φηγοῖο πηρῶν σὺν
αὐταῖς ταῖς βαλάνοις. διαφέρει γὰρ φησὶ
δρῦς καὶ φηγός. ἄμπου φηγὸν τὸν πρῖ
νον ἔλεγον. ἄλλο γὰρ δρῦς καὶ ἄλλο φηγὸς
καὶ ἄλλο πρῖνος. τὰ δὲ ἴδια δρύες κα
λοῦνται. αὐτὰρ ὁ τοῦ χορέοιτο οὗτος
δὲ ὁ φαρμακθεὶς τούτου χορεσθείη καὶ
ἐν τῷ στόματι καττάσοι. τὸ ὁ· πολυγόνου
βοτάνη ἐστὶν ἐν τῷ γίνεσθαι ἐπαρχική. ἡ
τὰ ἐλξία τοῦ πολυγόνου γάλακτι ἐπιτεθέν
τα καὶ καταβιβρέντα βοηθεῖ. τὸ δὲ ἀμ
πελόεις αἰτιατική ἐστι πληθυντικὴ ἐν
ὁμοφωνεῖ τῇ εὐθείᾳ. αἱ ἀμπελόεις γὰρ
ἐστὶν ὡς τὰς πανηγύρεις αἱ πανηγύρεις.
ἴσως καὶ βατέοντα ὁμοίως καὶ τοὺς κλά
δους τοῦ βάτου. εἴρηται δὲ βάτος διὰ τὸ
ἄβατος εἶναι. νέα ὁ· τὸ ἔφη ἀντὶ τοῦ χλωρά

λέπη ἢ κασταναίου τοῦ ἐν βρέφει δυναμένου.
δασυφλοίοιο εἶπε διότι χνοώδης ὁ ἐντὸς
ἐστὶ φλοιὸς ἢ τὸ δασὺ πρὸς τὸ στενφνόν τοῦ
λέπους ἔφη· γράφεται δὲ καὶ χαλυφλοί
οιο ἤτοι ἐλάχιστον φλοιὸν ἔχοντος. νήαι
ραν δὲ σάρκα τὴν ἐσωτάτω λέγει. ἀμ
φότερα γὰρ τοὺς φλοιοὺς ἀφελέσθαι κελεύ
ει. νήαιραν δὲ ὦ τὸ ἐνδότερον περὶ τὴν
σάρκα ὑμένα τὸν στύφοντα λέγει. σκύλος
τὸ δέρμα ἤτοι τὸ ἔνδυμα ὅθεν καὶ σκυλεύω
νῦν δὲ τὸ μαυρεῖν καὶ ξηρὸν λέγει ἔνδυμα
γυμνώσας δέ σου τοῦ καλῶς τεθραμμένου
χέδρυον ἢ τῶν [illegible] βρέφοντος τοῦ καστάνου
τὰ νέα τέρφη τοῦ δασυφλοίου. τὸ δὲ κά
λυμμα ὅπερ κατὰ τὴν νήαιραν ἐστὶ
σάρκα. περὶ τὸ σκύλος ἢ περὶ τὸ ἔν
δυμα τὸ μηδὲν τουτέστι τὸ μετὰ τὴν ἄ
καν[illegible] ἐκεῖνό φησιν ἐκδύσας δίδου πι
εῖν οἷον τὸ στύφον. τὸ κασταναῖς ἔστρεφε
πόλις θεσσαλική ὅθεν τὰ καστάνια ἀ
πὸ τῆς κασταναίδος γῆς. ἡ καστανὶς ἀπὸ
λισπογλική ὅπου πλεονάζει τὸ κάστα
νον. τῶν δὲ καστάνων τὸ μὲν σαρδιανόν
τὸ δὲ λοπίμον. τὸ δὲ μαλακὸν τὸ δὲ
γυμνολοπόν. ὡς ἐπεὶ ἐσμηχθεῖ τουτέστι
τῆς κλεούσης τῆς ἐξ ἰώσης τὸν νάρθηκα

ἤτοι τὸν κλέψαντα τὴν κλοπὴν τοῦ κλέπ-
του προμηθέως. κλοπὴν γὰρ λέγει αὐτοῦ
τὸ πῦρ. φιλόξεινον δὲ λέγει τὸ ξενοῦλον
διότι ἀεὶ αὐτῷ καὶ οὐ λείπει ποτε. φυλλορρόος
ἀφίμου δὲ τοῦ φιμοῦντος τῇ στύψει ἤτοι
τοῦ στυπτικοῦ. ἰξιόεν. τὸ τοῦ ἰξοῦ δη-
λητήριον. ἰξία δὲ καὶ βουπρῆστις σιλφίων
γένη μελαινῶν. γινόμενα δὲ κατέχει τὴν
γαστέρα ὡς ἰξός. οὐλοφόνον δὲ τὰ οὖλα
βλάπτον ἢ ὅλον φονευτικόν. ὠκιμο-
ειδὲς δὲ ὅτι μάλιστα ὡς ὤκιμον ὄζει.
ὤκιμον δέ ἐστιν εἶδος βοτάνης παραπλή-
σιον ἡδυόσμῳ ἄλλου δὲ οὐκ ἔστιν. ἐμ-
πλάζεται δὲ ἦτορ ἀντὶ τοῦ περιφέ-
ρεται τῇ διανοίᾳ ἤτοι ταράσσεται καὶ
ἐμπλήκτως γίνεται καὶ λυσσηθεὶς ἀντὶ
τοῦ μανεὶς καταφωρᾷ τὴν γλῶσσαν
αὐτοῦ. ἰξία γένος ἐστὶ τῆς σίλφης. ἔστι
δὲ τῇ χροιᾷ μέλαν τῇ δὲ ὀσμῇ ἐν τῷ
πόσει ὁμοία ὠκίμου τῷ στόματι ἤτοι
βασιλικῷ ποιὸν ἔχον. ὅθεν δὲ τὸ
μὲν φάρμακον τοῦτο. τὴν μὲν γλῶσσαν
οἴδει φλέγον αὐτὴν καὶ παραφερομένην
ἐμποιοῦσαν ἐσθίειν αὐτήν. τὸ παρασκευά-
ζειν



δίκην δὲ ἰξοῦ τὴν γαστέρα κατέχει ἐμφερὲς ἴν
βραζόμενον θύρσου τε καὶ κόπρου. κατα-
πνίγει δὲ τὸ πνεῦμα περὶ τὰς στε-
νὰς τῶν ἐντέρων ὁδοὺς εἰλεῖσθαι ποιεῖ
καὶ διέδρας ψόφους παρασκευάζει. ἢ διὰ
στόματος ἐξελέγχεσθαι δίδωσι. τοῦτο τὸ πο-
τὸν πολλάκις ἐμφὲρ παρασκευάζει τῶν
γαστέρων παραπλήσιον τοῖς ἀνδ… οστάκου
ῴοις τῶν ὀρνίθων οἷον τοῖς ἀτελέσι ἢ
ἐν τοῖς ὑμένων οὖσι τουτέστι νεωστί τε
ἐκτρεφομένοις ἐν τοῖς ἐγκάτοις αὐ-
τῶν καὶ ὑμένας μόνους ἔχουσιν. ἀχή-
ἀδιαχώρητος φησὶ γίνεται ἀχὴ καὶ
ἄνευ λόγου ἐν τοῖς ἐνειλούμενοι τῷ
στόματι λόφον ἀποτηγεῖ. ἐνο-
χλῶ δὲ φυσήματι ἰᾶται τουτέ-
στι συμμιχθὲν πόματι ταρα-
σσεται. μικρὸν γάρ τὸ πόμα α-
πολλυθ. ἔρχεται δὲ τὰ ἀναβαλ… μέ-
νω εὐθὺς πόματι οὐ τὴν ὑπὸ
βολὴν ἄγριος βροντῇ ἢ ἠχὼ θαλα-
σσίῳ. ἢ ὁποῖος ὁ ἦχος τοῦ κ…
… πνιλάσι. πολλάκις δέ φησι
… βροντῆς τοῦ ὀλυμπίου ὁμοιουμένῳ

πολὺ δὲ τοῖς ἤχοις τῆς θαλάσσης παραπλή-
σιος ὤν. ἀνομβρήεντος δέ· πολυόμβρου
ὡς φησιν ὅμηρος· οὐδέποτε ὄμβρος δ' οὐ ἔχει.
στευγομένῳ· θλαυομένῳ ἢ συνεχομένῳ·
οἱ δὲ γλωσσογράφοι κατὰ στέρημα ἀπο-
λλυμένῳ.. χύματα δὲ ἀκάθαρσι
τὰ γινόμενά φησι τῶν βοηθημάτων
ἐμοὶ παρασκευάζουσι διεφθορυῖαν τὴν
γαστέρα παραπλησίαν τοῖς ἀνελυτ-
ρους τικτομένοις καὶ διεφθαρμένοις ὠ-
οῖς, πολλὰ γὰρ διά τινα πληγὴν ἢ πε-
ρίστασιν ἐκβάλλει ἡ ὄρνις χωρὶς τοῦ
κελύφου τῶν ὠῶν. φαρμακόεις δὲ
ἀντὶ τοῦ φαρμακοέσσαις· ἀλεξιφάρ-
μακοι. ἢ φαρμακώδεις χρόας φησὶ
τὰς ἀκάθαρσι ἔχειν ὁμοίαν τοῖς ὠοῖς
ἃ ἡ νομὰς ὄρνις ἐκβάλλει νεωστὶ τε-
θρομβωμένα καὶ φυσιωθέντα χωρὶς
τοῦ κελύφου. καὶ αἰχμητῆσι νεοσσοῖς
τοῖς ἀλεκτρυόσι δηλαδή· οὗτοι γὰρ
πρὸς ἀλλήλους πολεμισταὶ γίνονται
ἄλλοτε μὲν πληγῆσι. παρέχει γὰρ καὶ
τὰ ἀπὸ πληγῆς καὶ ἐκ πλήθους ἐνα-
ποκειμένου



αὐτῇ. τὸ ἔλπει φησὶν ἀεξῆ τὰ ὠὰ καὶ
διὰ φύσας τινὰς καὶ ἀνόστρακα πολλάκις
καὶ ἀπὸ νόσου τινὸς γίνεται αὐτῇ. δύασεπτ
δὲ χρόνον ἀντὶ τοῦ ἀμετάβλητον τοι χρόνον
ἔτι ἐν τῷ ὑμένι ὄντα ἐκβάλῃ. τῷ μὲν τεῦ
βραγχέος. τῷ μὲν καὶ τοῦτο τὸ ἄλγος ἀρήξει
τὸ μετὰ γλεύκους ἐνστυφθὲν πόμα τοῦ ἀψιν-
θίου. ὡς θέρεος τὰ πικρὰ καὶ δριμέα στύφου-
σι ταχαλ. τοὺς γοῦν ὄμφακας ἀποστύφοντας
ἔφη. ὄμφακες δὲ ἡνίκα χλόος ἀποστύφου-
σι πόθεσαι. κεχολωμένον ἐν γλεύκει βρέ-
ξας ἀψίνθιον καὶ οὕτω διδόναι πίνειν,
ἢ ῥητίνῃ τερεβινθίνῃ ἢ πευκίνῃ ἢ τι-
νος δάκρυον μετὰ γλεύκους καὶ τὰ
ἑξῆς. νεοθρίπτοισιν ἢ νεωστὶ τριβεῖσι οἱ
θλιβεῖσι, πατηθεῖσι τουτέστι μετὰ γλυ-
κους τὸν τοῦ ἀψινθίου ζωμόν. κορεῦς
ἀπὸ δάκρυα. ὅτι πολὺ στάζει δάκρυ,
ἢ ὅτι ἐν αὐτῇ ἀπεδερματίσθη μαρσύ-
ας. μυθεύεται γὰρ ὡς αὐτόθι μαρσύας δεθεὶς ἐκ
πίτυος ἐξεδάρη ὑπὸ τοῦ ἀπόλλω-
νος ἡ πίτυς συμπαθὴς ὡς αὐτῷ γινο-
μένη θρηνώδης ὑπάρχει. τμῆξαι δὲ
ἀντὶ τοῦ κόψαι ἢ ξέσαι ἢ μίξαι ἢ
τῆς πίτυος φησὶν ἐπὶ τοῦ μαρσύου τὴν
φλόα ὁ φοῖβος ἀπεδύσατο ἐκ τ

λ.c.3.

μηλῶν τουτέστι ὅπου αὐτῆς ἔξεσεν. ἐς ὀπίσω
μετ' αὐτοῦ ἔξεσε καὶ ἐξέθρεψε κρεμάσας. ἀν-
τα δὲ ἡ πῖλος τὴν μορφὴν τοῦ θρόνου τοῦ
πολύπτυχον ἐμμιάζουσα κατάγχει καὶ
τὰ ἑξῆς. ἀσαιδὴ πολιοῖο κορέσσον ἀντὶ
τὸ ἄνθος τοῦ μυοκτόνου κηλιοῦ. ἰδίως δὲ
μυοκτόνον φησί. οὕτω γὰρ οὔτε κέκληκε
τις οὔτε μῦας ἀναιρεῖ. κελεύει οὖν λαβεῖν
κηλιοῦ ἄνθος καὶ πηγάνου βλαστὰς καὶ
κάστορος ὄρχιν. λιμναῖον δὲ ἔφη ἐπειδὴ
ἐν τοῖς ποταμοῖς καὶ ταῖς λίμναις διαιτᾶ-
ται καθάπερ καὶ ὁ ἵπποποταμος
δοκεῖ δὲ ὁ ὄρχις τοῦ τοιούτου μόνος εἶναι τῶν τοῦ
κάστορος. οὗτος ἐστὶ ὁ κάστωρ ὥς φασι διω-
κόμενος κόψας τοὺς ὄρχεις ἐπιτίθησι εἰδὼς ὅτι
δι' αὐτοὺς διώκεται. ἢ ὀβολὸν σιλφίου τῷ
χαρακτηρικῷ χρήσηται. ἢ μαχαίρᾳ καθα-
ριτον οἷον ξέσον κόψον σιλφίου τῆς ῥίζης
τῆς ὅπου ὀβολοὺς δύο καὶ ζαχρεῖ γάρον
ἢ ῥίζα προσφάτως ἡμμένον. ζαγρεῖα
νὸν δὲ ἐσπόρδον ὅπερ ἐσθίοντες οἱ βάτραχοι
γίνονται καταφθορεῖς. διό οὕτως φέρονται. αὕτη
δὲ ἡ ῥίζα λέγεται σίλφιον. ὁ δὲ ταύτης ὀ-
πὸς κυρηναϊκὸς καλεῖται ὀπός. ἢ ἐγα-
λακτος ἢ τοῦ γάλακτος τὸ νεωστὶ πη-

γνυμένου ἐν τῇ νεαρημέλτῳ πηγῇ. κορεσθὲν
τουτέστι τοῦ νεωστὶ τυροῦ πήξαντος.
ταύρου αἷμα τὸ ταύρειον αἷμα φησί
παραχρέας πινόμενον πήγνυσθαι ἐν
τῷ στήθει καὶ θρομβοῦσθαι ἐπὶ τῷ
συνεχὲς τὸ πνεῦμα ἀποπνίγειν ποιεῖ.
οὐ χανδὰν δὲ πινόμενον ὡς τὰ ἄλλα
δηλητήρια πολλάκις ἀγνοοῦνται. ἀλλὰ
μετὰ τὸ ἀποσφάττειν τοῦ τῶν ἄλλων ζώων
αἵματος ὡς ἀρεστοτάτης οἱ δὲ καὶ ἀ-
φρόνως ὥσπερ τινὲς ἀποκτεινοῦντες
πίνουσιν αὐτὸ καὶ τελευτῶσιν. φασὶ
δὲ τὸ αἷμα παρὰ τὸ ἐν ἔαρι πλημμυρεῖν
καὶ πλεονάζειν. θρομβοῦται δὲ αὐτί-
κα τοῦ πήγνυται τὸ ταύρειον αἷμα ποθὲν
καὶ φράσσονται οἱ πόροι τῶν πνευ-
μόνων. τὸ δὲ πνεῦμα θλιβόμενον ἐντὸς
οἷον σφίγγει τοῦ αὐχένος ἐμπλασθέν-
τος οἷον ἐμφραχθέντος καὶ ἀποκλει-
σθέντος. μεμορυγμένος δὲ τουτέστι
μεμολυσμένος τῷ ἀφρῷ. περὶ-
φραστικῶς δὲ ἀφρίζων. ἀποκραδί-
ου ἀπὸ τῆς κράδης κόψας οἷον
ἀποσυκίσας τουτέστι λάβοις. ἐρι-
νεοὺς δὲ τοὺς κλάδους τῆς συκῆς.

ἐρινέος γὰρ ἡ συκῆ παρὰ τὸ ἐρίζειν παρὰ τὸ φυ-
τῶν. ἄλλως. ἀφήσοιτο τοὺς τῆς ἀγρίας συκῆς
ὀλύνθους, ὅ ἐστι μηδέπω ὄντες πέπονες
ἔχουσιν ὀπόν. τὸ δ' ἀθρόον. ἀθρόον καὶ
πολὺ ὄξος μίξας ὕδατι συγκέρασον καὶ
δὸς πιεῖν. τὸ δὲ ὄξος φησὶν ἤτοι τὸ ὅ
ἀπεβράχησαν οἱ ὄλυνθοι τῆς ἀγρίας συ-
κῆς ἢ ἁπλῶς ὡς ἑτέρου βοηθήματος. ἢ
ὃ τὸ περιέχειν δεῖ. τὸ ἐμπίξαιο ἀντὶ τοῦ
βρέξον. ἐκφλοιοῖο ἐκσυρεάς. ἐκθλίψας
κλύσον φησὶ τὴν γαστέρα ἢ καὶ τῆς συκῆς
φλοιοῦ. καταχθέος δὲ καταγόντος τὰ πε-
ριττώματα τῆς γαστρὸς ἢ πολυαχθέος
τῆς πολὺ ἄχθος ἐχούσης δηλονότι περιτ-
τωμάτων. πυετίην ὀθόνης πυετί-
αν φησὶ λαβὼν ἢ πέρκος ὅ ἐστι δορκά-
δος ἢ ἐρίφου ἢ νεβροῦ ἢ λαγωοῦ κόλον
καὶ ἤθησον ἐν ῥάκει λεπτῷ καὶ τρεῖς
νίτρου ὀβολοὺς βάλλας μίξον ἐν οἴνῳ καὶ
δὸς πιεῖν. πολυωπεῖ δὲ ἤτοι πο-
λυωπῷ κόλπῳ τῆς ὀθόνης. ἐνιδου-
χεῖ βάκχου. καὶ ἔστι τὸ ἐνιδουχεῖ ἡδύ,
ἡδέως. ἰδίως ἀδουχέα λέγει τὸν ἡδὺν
ἢ μᾶλλον τὸν παλαιὸν ὡς πιθίζον-
τα. σιλφιόεσσαν δὲ λίτρην ἀντὶ τοῦ



ἴσην μοῖραν λαμβάνειν σιλφίου καὶ ὀποῦ
καὶ ἀφέψημα κράμβης μετὰ ὄξους. καὶ σιλ-
φίου φησὶ καὶ ὀποῦ κυρηναϊκοῦ καὶ
ἀφέψημα κράμβης τῶν τριῶν ὁμοῦ λίτραν
μεμοιραμένην. κατασμώξαιο κατακνί-
σαις τὰ ἁπαλὰ τῶν ῥάβδων. τούτους δὲ τὴν πῆ-
ξιν τοῦ ταυρείου αἵματος ῥᾳδίως σκεδά-
σοντας ἤτοι ἐξῶσαν ἐν τῇ γαστρὶ διαθρύ-
ψας. βουπρήστιδος ἐχθρῆς. βούπρη-
στις ζῷόν ἐστιν χροσαῖον ὠνόμασται δὲ ἀπὸ
τοῦ ἐμπιπρᾶναι τοὺς βόας ἐπειδὰν δὴ
χτῶσι ἢ μόνον αὐτὸ περιχάνωσι. φησὶν
ἀριστοτέλης ἐν τῷ περὶ ζώων ὅτι ἐὰν καὶ
ἵππος τὸν λεγόμενον σταφυλῖνον ὅτι
δὲ ζῷον ὅμοιον σφονδύλῃ διαφθείρει. ἄλλοι
δέ φασι ζῷον εἶναι ὅμοιον κανθαρίδι.
μὴ μὲν ἀλγινόουσα μὴ λάθῃ σε ἡ ἀλγη-
δόνα παρέχουσα πόσις τῆς βουπρή-
στιδος. πεδόση δὲ καὶ γνῶσιν δαμαζόμε-
νον τοῖς πιόντα ἄνδρα. βούπρηστις ὅ
ζῷόν ἐστι παραπλήσιον φαλαγγίῳ ἢ
διατίθησι τοὺς βόας κακῶς. τοῖς ὅσοι
πίνουσί φησι τὴν βουπρήστιδα οὐδ
ἡ παρακολουθεῖ. ἤδη τοι ἡ βουπρη-
στις

ἐγχρωτάζουσα εἰς τὰ χαλινὰ λίθῳ ὁμοίαν
ἔχει τὴν γεῦσιν, νίτρῳ τὴν χροιὰν παρα-
πλησίαν. γίνεσθαι φησὶ κατὰ τοὺς χαλι-
νοὺς τῶν πινόντων, ἤγουν ἄρα ῥιζῶδες
φησὶν αὐτοὺς ἔχειν περιφορὰς κατὰ τὴν
ἀντίληψιν. περὶ δὲ τὴν κοιλίαν πόνοι
καὶ οὔρων περικρότησις καὶ ἡ κύστις ἔρ-
χεται ὀξεῖ τόφῳ(?). τοῖς δὲ ὑδρωπικοῖς
παραπλησίως ὀγκοῦνται τοῦ δέρματος αὐ-
τοῦ παράτασιν λαμβάνοντος ὡς καὶ τῶν
βοῶν ὅταν φάγωσι τὰ καυλέα τουτέστι τὰς
βοτάνας ἐν αἷς τὰ θηρία. περιστόματε-
σιν ὑπερβαθεῖ(?) ἐν τοῖς στόμασι τῆς γαστρὸς
τὰ ἄλγη περιπολοῦνται. ὄρωρε γίνεται(?)
γένη(?) ὑδρώπων ὡς ὁ εἰς τυμπανώδης λέ-
γει(?). ἀφυσγετὸς δὲ καλεῖται. κυρίως μὲν
ὁ ἐκ τῶν ποταμῶν γινόμενος συρφετὸς
ἤτοι ἡ ἀθροιζομένη χορτώδης ὕλη. νῦν
δὲ εἴρηκε διὰ τὸ πᾶσαν ἀκαθαρσίαν τοῦ
σώματος εἰς τὴν γαστέρα συνερρυηκέναι.
ἐγκατίοισιν ὅταν γράφεται ὁπότε θηρία
δαμαζόμενοι δατέονται τουτέστι ὀλεδατέ(?)-
ονται καὶ μερίζονται [illegible] τὰ τῶν θηρίων



τόπῳ οἷον εἰ τὸ ὄρος νομαζόμενοι καὶ βοσκό-
μενοι. τὸ δὲ ἐγκατίοισι ὅταν καυλέα φαγῶ-
σι. ὅταν φησὶν ἐν τοῖς ἐγκατίοις περὶ τὰ
τετράποδα τῶν ὀρέων τὰ καυλέα τῆς βου-
πρήστιδος φάγωσι. τῶν καὶ ἐνικραδέης(?). δι-
χῶς ἡ γραφὴ καὶ ἡ ἐξήγησις. μία μὲν οὕτω·
τῶν καὶ ἐνικραδέης τριπετεῖ ἐν νέκταρι μί-
ξας καὶ τὰ ἑξῆς ἵνα συνταχθῇ οὕτω διὰ
τοῦτο καὶ τῆς καλῆς κράδης τὴν τριπετῆ
τῶν σύκων πόσιν τὴν ἱκανῶς ἐξηραμμένης(?)
καὶ ὀμφαλόεσσαν ἐν νέκταρι μίξαις. τρι-
πετῆ δὲ οἷον εἰ τριπέταλον τὴν
ἐκ σύκων σχιζομένην εἰς τρία πέταλα. τὰ
γὰρ σῦκα ξηραινόμενα εἰς τρία σχίζονται.
ἢ ὅτι τὰ φύλλα τῆς συκῆς εἰς τρία ἔσχισται.
ὀμφαλόεσσαν δὲ ἢ τὴν τῶν ὀμφαλῶν πλέως(?)
ἰσάνουσαν(?) ἢ τὴν ἐκ σύκων τῶν ὀμφαλοὺς
ἐχόντων. τὰ γὰρ σῦκα κάτω ὅπερ ἔχουσι
ῥικνοῦ(?) ὀμφαλοῦ. δεύτερος ὁ τρόπος αὐτῶν
δὲ γράφεται καὶ τριετεῖ ἐν νέκταρι.
ἵνα ἢ τῆς καλῆς κράδης τὴν ἐκ τῶν
σύκων ἀναντλήσαι(?) ἀλὸς πόσιν τὴν
ὀμφαλόεσσαν ἐν τριετεῖ νέκταρι μίξαις.
ἤγουν ὡς ἀνανθήσων(?) τὴν ἀπὸ ξηρῶν σύκων
τριπετῆ δὲ τρίχιστον(?). ὅτι τὰ φύλλα τῆς

συκῆς εἰς ἕνα ἔλιξαι. γράφεται τισὶ δὲ καὶ
ἀχράδος. χλωρὰ τὰ ξηρὰ σῦκα ἐν
οἴνῳ ἑψήσαντα διδόναι πίνειν. ἢ ὀμφα-
λόεσσαν· τὴν τροφώδη· περὶ τὸν ὀμφαλόν
βρῶσις γὰρ ὁ ὀμφαλός ἐστι· δι' αὐτοῦ τὰ
ἔμβρυα πᾶσαν τὴν τροφὴν δέχεται καὶ
ἀναπνεῖ τοῦ σώματος μεμυκότος διὰ
τὸ πλῆθος τοῦ ὑγροῦ ἵνα μὴ ἀπόληται.
μελιζώροιο ἀμφίβολον ποτὲ μὲν διὰ
τὸ τῶν σύκων πόμα μελίζωρον εἴρηκεν
ἢ ἔτυμον ἐκ τῆς μελιζώρου βοτάνης. τὸ
δὲ γλάγος· τὸ ὃ γλάγος εἰς ἐγχεύαις. ἀγ-
γεῖον δηλονότι. μίξον δέ φησι τὸ γάλα
τοῖς ξηροῖς φοίνιξιν. ἄλλοτε δ' ἀναλέας
ἀπὸ κοινοῦ τὸ καταμίσγεο καὶ ποτόν.
ἀχρὰς δὲ καὶ βάκχη καὶ μυρτίνη εἴδη ἀ-
πίων. ἔστι δὲ καὶ εἶδος ἐλαίας μυρτίνη κα-
λουμένη. ἢ ὅγε καὶ θηλῆς· θηλάζειν φη-
σὶ τὸν πάσχοντα ποτὲ μὲν γυναῖκα
ποτὲ δὲ βοῶν. ἅτε δὴ βρέφος· ὡς
οἷα βρέφος ἀρτιγενές. οὕτως ἐμπιπλά-
σοι τῶν δεσμῶν ἤγουν τῶν μαστῶν. μοσχη-
δὸν δὲ μόσχου δίκην· διὸ σημαίνει τὸ
ἁπαλὸν καὶ τρυφερόν. μόσχευμα γὰρ



πᾶν τὸ ἁπαλὸν ὅμηρος μόσχοισι λύγοισι.
ὅτι τε ἐξ ὑμένων πρώτη ἡ νεαλὴς ὅ ἐστιν
ἡ νεαρὰ μόσχος τὰ οὔθατα ἀνακρούουσα
ἐκ τῶν ὑμένων παραινεῖ τὴν μηνοειδέα
λύσιν τῆς θηλῆς καὶ τὰ ἑξῆς. ἄλλοτε πι-
αλέης πόσιος. ἐλαίου φησὶ θερμοῦ χλια-
ρῶν βιάζου ἐμεῖν ἐνιεὶς τὰς χεῖρας
ἢ πτερὸν ἢ πάπυρον τὸν πρὸς ἐμετὸν
ἐπιτήδειον τῶν κακῶν φησι τοῦ φαρμάκου
ἐκχυστῆρα. ἀνακεφαλαίωσις τῆς θερα-
πείας τῆς βουπρήστιδος ἀπὸ συκῆς
ξηρῶν σύκων τετριμμένων μετὰ οἴνου πό-
σις ἢ μελιζώρου ἱκανὴ πόσις ἢ γάλα-
κτος καὶ φοινίκων καρποῦ μεμιγμένη
πόσις ἢ ψυχτῆς ἀχράδος ἢ ἄλλων ἀ-
πίων μετὰ οἴνου. ἢ ἵνα θηλάσῃ μαστὸν
γυναικὸς ὡς παιδίον ἢ θερμοῦ ἐλαίου εἰς
κόρον πόσις. δεῖ δὲ ἐφεκάσῃ ποτὲ τοὺς
δακτύλους χαλᾶν ἢ πάπυρον ἢ πτερὰ
ἐμβάλλειν εἰς τὸ στόμα καὶ ἀναγκάζειν
ἐμεῖν ὅπως τάχιστα τῆς νόσου ἀπαλλα-
γῇ. ἢν δ' ἐπιθρομβωθῇ ἐὰν δὲ θρομβω-
θῇ ὅ ἐστι ~~θρομβωθῇ~~ τυρωθῇ τὸ νεαλὲς
γάλα ἢ τὸ νεωστὶ ποθὲν πνιγμὸς ἐ-
πακολουθεῖ εἰς ἓν ἀθροιζομένου τοῦ
πόματος ἢ τοῦ γάλακτος. πελαστάς

δὲ ποσίας ἀντὶ τοῦ τρεῖς μοίρας. μέσσα
μὲν ὄξευς δοιὰς δὲ γλυκέος· τουτέστι τὰς
δύο μοίρας γλυκέος καὶ τὴν μέσην τούτων
τουτέστι τὴν μίαν, ὄξευς ἢ ὄξους ἢ ἔτι καὶ
λιβυήεσσαν ἀλλὰ καὶ τοῦ ἐκ τῆς λιβύης
σιλφίου τὰς ῥίζας. πολλάκι ἐγκνήθεο· του
τέστι ἔντριβε. ἄλλοτε ὀπὸν ἀπὸ τοῦ
κυρηναϊκοῦ λέγει. ἰστέον ὅτι ὥσπερ ὁ ὀπὸς
συνεστηκώς ἐστι καὶ πεπηγώς, ὥσπερ τὸ
κομμίδι ἢ ὁ λίβανος ἢ ἡ μαστίχη ἢ τὰ
τοιοῦτον. διὰ τοῦτο οὖν εἶπε τήξας οἱονεὶ ἀ
ναλύσας. ἐνὶ βάμματι οὖν τήξας ἀντὶ
τοῦ ἐν ὄξει διαλύσας. ὁ γὰρ κυρηναϊκὸς
ὀπὸς διαλύει τὴν φαρμακθεῖσαν καὶ γὰρ ἐ
ὰν πεπηγότι γάλακτι ἐμβάλλῃ αὐτὸν τις
διαλυθήσεται. ἔστι δὲ καὶ τὸ νίτρον διαλυ
τικὸν τοῦ γάλακτος. κονίλῃ ἤτοι κονί
αν ἢ θύμου ἄγριον ἢ τῆς ὀλυνήρου βο
τάνης ὅπερ ὀρίγανον καλοῦσι μετ' οἴνου. ἄλλοτ'
ἀμώμοιο. ἀμώμου ἢ βότρυς ὀλυνη
ρου ὥσπερ τῆς καλὰς κνήμας ἐχούσης
ἀμπέλου. κνήμας δὲ τὰ μεταξὺ τῶν ἀμ
κονδύλων ἢ τῶν καμπτέων λέγει τοῦ
βότρυος βρεχθέντος ἐν οἴνῳ. ἐν καὶ
τοῦ τεμισοιο. τοῦτο ἄξιον θαύματος



ὅπως ἢ ὥστε ἵνα διαλύει τὸ συνεστηκὸς ἐν τῇ
κοιλίᾳ γάλα ἄλλοτε ἄλλο τοῖς συνεστηκόσι
καὶ τὸ μελισσόφυλλον δέ φησι δίδου σὺν
ὄξει ἢ μελίσσης πότον ἔφη τὸ μέλι. σὺν φθεν
δὲ ποτὸν τὸ ἡδύοσμον κατ' εὐφημισμὸν
μίνθη δὲ ἀΐδου παλλακὴ οὕτω καλουμένη
ἣν διεσπάραξεν ἡ περσεφόνη ἔφη τὴν ὁμώ
νυμον πόαν ἀνέδωκεν ὁ ἅδης. τὸ δὲ ἐχ
νιον ὃ καὶ μελισσόφυλλον καλεῖται ἀγρία βο
τάνη ἐστὶν αὕτη κοπτομένη ὀπὸν ἀπο
στάζει ὅμοιον γάλακτι τὴν θέαν καὶ τὴν γεῦ
σιν καὶ τὴν ὀσμήν. ὅθεν καὶ δυσδιάκριτ
ἐστι τοῦ ὀπὸν ὥσπερ γάλα ἐστὶν ἢ
οὐ. δημοφῶν δὲ ἐτυμολογῶν φησιν οὕτω
κεκλῆσθαι διὰ τὸ δοκεῖν αὐτὸν ἴσον εἶναι
κατὰ τὴν ἀναίρεσιν. λυσίμαχος δὲ ὁ ἱππο
κράτειος διὰ τὸ ξύλον εἶναι κνίδης πα
ρασκευαστικὸν τοῖς προσενηνεγμένοις.
ὥσπερ δὲ ἡ προσόψις ἡ θέα τὸ εἶδος
καὶ ἡ βρέξις πρὸ τοῖς στόμασιν ἀπέχα
ξεται γάλακτι. λυγμοὶ δὲ αἱ τοῦ πνεύ
ματος ἀναγωγαί. τηνεσμῷ τῇ διατάξει
διαφέρει τηνεσμὸς καὶ δυσεντερία. ὅτι ἐν
γος μέντοι ἀπῆλθεν καὶ γὰρ ἐστι πάθος
ὅ ἐστι χορδαψός. τηνεσμὸς δέ ἐστιν οἷον

λεγόμενον βιασμόν. τοῖς πνευμώδεσι παρα-
κολουθεῖ δυσεντερία, εἶτα ὁ χόρδαψος.
ἕτεροι δέ φασι συναμματιζομένων τῶν ἐν-
τέρων οὗ περιγίνεται πνευσμός. καί τε ἧς
ὄρνιθος καὶ τῆς ὄρνιθος τηκομένη ἡ σάρξ
τῶν ἐνέφθων στηθέων ἤμυνε βρωθεῖσα.
τὸ στῆθος τῆς λιπαρᾶς φησὶν ὄρνιθος βρω-
θὲν ὠφελεῖ. θωρήχων δὲ τῶν στηθίων
σαρκῶν. καὶ χυλὸς ἅλις· ἤτοι τοῦ στή-
θους τῆς ὄρνιθος ὁ χυλὸς ἢ ἕτερον βοή-
θημα χυλὸν λέγει ... ἄμεινον τὸ
τὸ πρότερον. καὶ ὁ χυλὸς τῶν ὀστρέων
τουτέστιν ὁ ζωμὸς ῥοφηθεὶς ὠφέλησε. καὶ
ὅσα κατὰ τοὺς φυκιόεντας αἰγμοὺς ὅ-
θιν αἰγιαλοὺς περιβόσκεται κνώδαλα
κωβιοὶ καὶ τὰ τοιαῦτα. κάλχης εἶδος
πορφύρας ἀφ' ἧς αἱ γυναῖκες κάλχῃ
βάπτουσιν. καλχαίνειν δὲ τὸ πορφύρειν.
τοὺς δὲ στρόμβους οὓς λέγουσιν οἱ ἀγροῖκοι
ὀστράκου τὰ κοχλία οἷς καὶ ἐχρῶντο
ἀντὶ σαλπίγγων. καὶ ἀπολλόδωρος
ἐν τοῖς ὁμήρου οὕτως εἶπεν. στρόμβοι
δ' ὡς ἐσάσευεν. αὐθέντος δὲ κήνου καὶ
τρου καὶ πυρεθοῦ κατὰ τὴν σάρκα
τήκνυτε τὰς ἀγρίας λεπάδας ἃς ἡμεῖς



ὠτία λέγομεν. ὁ δὲ ἀριστοτέλης ὄστρεα καὶ
ὅμηρος κοινῶς ὄστρεα. τὸ δὲ δὴν ἐάσεται
ἤτοι πολὺ ἀφεῖσιν ἀντὶ τοῦ ἐκτὸς ἐάσει
καὶ τὸ γηραιόμενον αὐξανόμενον ἐν τοῖς
βρέφεσιν ἢ νηχόμενον ἢ ἀγρευόμενον ἢ κο-
σμούμενον. φαρικοῦ ἢ τὸ φαρικὸν
ὅμοιον τῶν θανασίμων ἐστίν. ἱστοροῦσι δὲ
πεζαρέας κληθῆναι αὐτὸ ἀπὸ φαρ-
μακοῦ τινος κρητὸς τοῦ ἐξευρόντος αὐτό·
ἄλλως. τοῦτό φησιν ἐν φάροις τῆς ἀρ-
καδίας εὑρεθῆναι. καλεῖται δὲ ἡ μηδική.
τινὲς δέ φασιν αὐτὸ πρῶτον ἐν θεσσα-
λία εὑρεθῆναι ἐν φεραῖς. ἄλλοι δὲ ἐν
λακεδαίμονι. φάρις γοῦν ἐστι τῆς λακω-
νικῆς. φάριν δὲ ... τούτου ὁ τὸ
ποτὸν τῇ μὲν γεύσει ἐστὶν ὅμοιον νάρδῳ
τοῦ δὲ πεπωκότος τὰς σιαγόνας ἐνέ-
πλησε. τοῖς δὲ τοῦ σώματος πᾶσι μέλε-
σι τρόμον ἐνήνεγκε καὶ παραφροσύνην
ἐν τῇ τῆς ψυχῆς νοήμασιν ἐνέθηκεν.
ἤνυσε δὲ ὀφθαλμοὺς ἐποίησε τρομερούς
καὶ παράφρονας καὶ ἐν μιᾷ ἡμέρᾳ πολ-
λάκις πρὸς θάνατον ἤγαγε. μουνήρει
ἀκτῖνι ἐν αὐτῇ τοῦ ἐν μιᾷ ἡμέρᾳ
ἀναιρεῖ τὸν ἄνδρα τὸν βαρὺν ἢ τὸν γυναῖκ

ἰδίως δὲ μονήρης ἐστί. σαθρὸν δὲ σαθρῶν ἢ
ἀντὶ τοῦ σαθρὰ μὴ ἔχουσαν οὐκ ἔστι δὲ πόσιν.
καὶ φυλαχθεῖσαν τὴν ἐμφερῆ φυλακῶ
χρηματίσας δὲ ἔστιν ἀπὸ τῆς εἰρήνης τοι
αὕτη γὰρ αὕτη ἡ τῆς νάρδου ἐστὶ φυλα
κώδης τῶν ἰδεῶν. ἄλλοτε δὲ σμύρνινον τὸ
σμύρνινον παραπλήσιόν ἐστιν ἀρωματικὸν τὸ
δὲ σπέρμα κατὰ φύεται, ὀσμὴν δὲ σμύρνης
τὸ ὃ ἔχει ὠφελεῖν ἐστὶν ... ἢ δὲ καὶ
ὀξυτέρως ἰσχὺς ὥσπερ βολίς. ἢ ὡς κύπειρον.
... τοῦ ... ἰσαιομένην ὁμοίαν. ἦν ὅτε
τὸ εἶναι σφαλλοὺς ... καὶ παράφορ
...ας μονήρης μία. πρόνες ἀλδαίνουσιν
αἱ ἐξοχαὶ αὐξάνουσιν. κέστρου ποταμοῦ
... ἢ κιλικι... αἰγύσου λάβε
κεφαλὴν ... τὸ τοῦ κρίνου ἄνθημα.
ἀφροδ. ἡ Ἀφροδίτη ἢ ἀφροδίσιος ὑποκορι
στικῶς ... φύλλοις. ... ἀγρίων
βεβρεγμένου τοῦ ὄνου. ἐναλδήσασα ἐναυ
ξήσασα. χορίων τὸ ἀπόσορον τοῦ ὄνου.
σκύλλαιο ξύρησον. τοιοῦτο ἔβλαπτε
περὶ κορσέα πλάσσοις τοῖς πλάσσε τῇ
κεφαλῇ. κεφαλοῦντε ... τὴν κεφαλὴν



τοῦ κρίνου. τοῦτο δὲ λέγει βιῶσαι τῇ Ἀφροδίτῃ περὶ
χροιᾶς τὴν δὲ ὀργιασθεῖσαν ὅμοιον αἰδοίῳ ποι
ῆσαι ὄνου. σκύλλαιο κάρη. κείρας ξυρῶν
τὴν κεφαλὴν αὐτοῦ καὶ καταπλάττειν πη
γάνῳ καὶ ἀλεύρῳ κριθίνῳ καὶ ποτίζων
νάρδῳ ὡς πλεῖστον καὶ ὄξους ἐσκευασμένου.
βλάπτεσθαι ὅ φασι τὸ πήγανον ὑπὸ
τῆς καμπῆς. ξύρησον φησὶ τὴν κεφαλὴν
καὶ κατάπλασον ὠμῇ λύσει μετὰ πηγά
νου. τὸ δὲ πήγανον παρὰ τὸ πήγνυσθαι
τὴν γονήν. ἔστι δὲ καὶ ἀφροδισιαστικὸν τῆς σπουδῆς
... καὶ οἱ μυούμενοι αὐτῷ χρῶνται. ἢ
διὰ τὸ ἐν τάφοις φύεσθαι τὸ πήγανον.
ἄλλως σκύλλαιο φασὶ τὴν κεφαλὴν τοῦ
πηγάνου καὶ ... αὐτοῦ τὴν λόχμην
ἢ τὸ ἄνθος καὶ κόψας αὐτὸ καταθεὶς
... ξυρῶν. ὅ ἐστιν διακονήτω ἕψησον ἀ
λευρα κριθῶν νεάλεστα καὶ φυλλάδα
πηγάνου ἐν ὄξει καὶ ποίησον ...
... καὶ περὶ τὴν κεφαλὴν τοῦ πα
σχοντος καταπλάττε. μὴ μὲν ὕσσκυ
άμω μηδεὶς ἀπειρως ἔχων τοῦ ὑοσκυ
άμου τὴν γνῶσιν κορέσκοι σιαποιοῦ
σιν οἱ σφαλλόμενοι ταῖς φρεσίν. ἰδιώτ
ηρκε τὰ ἀϊδρήεντα ἀντὶ τοῦ ἀϊδρη

ἔπος

λέγει οὖν ὅτι ἐάν τις ἀπείρως προσενέγκοι
τὸν ὑοσκύαμον περὶ τὰ ἀπαλὰ λάχανα
γεῖν τοῖς ἀθύρμασιν ἀπαλοῖς οὖσιν ἢ καὶ
ὅταν τὰ παιδία προσενέγκηται ποιεῖ
ἀφαφυλάττεσθαι . παρασφαλέες δὲ ἔρχον
ται ἐκ ἀντὶ τοῦ οἱ ἐσφαλμένοι τρέχουσι
καὶ σπεύδουσιν . ἢ νέον στέρημα · στέρη
μα λέγει τὸ ἄκρον τῆς κόμης ὅ ἐστιν ἁπα
λόν ὃ δὴ πολλάκις συμβαίνει τοῖς
ἤδη δυναμένοις ἕρπειν χωρὶς τῶν τιθη
νῶν πορεύεσθαι καὶ ἐσθίειν . ἄλλως . νέ
ον στέρημα οἱ ἔτι τὰς τρίχας ἀπὸ τῆς σπο
ρᾶς φέροντες . στέρημα γὰρ τὸ σπέρμα · /
καὶ ἀμφικάρηνα κομόων ἢ τὰ περὶ τὴν
κεφαλὴν τῶν κομῶν . γράφεται δὲ τὸ
στέρχονται καὶ τρύχονται ἀντὶ τοῦ πον
οῦσιν , ὁ δὲ νοῦς τοιοῦτος . τὰ παιδία τὰ
νεωστὶ φυόντα τὸ ἐπὶ γαστέρα σύρεσθαι
καὶ τετραποδίζειν καὶ ἀπηρτημένα
τῶν τριχῶν τὸ ἀμφίκρηνον τουτέστι τὰ
νεωστὶ κουρευθέντα καὶ ἀρξάμενα πε
ριπατεῖν ἄνευ τῆς τροφοῦ . λέγει δὲ τὰ
ὄντα περὶ τὰ τέσσαρα ἔτη καὶ τὰ πέν
τε ταῦτα γὰρ ἐπιτυγχάνοντα τοῦ ὑοσκυά
μου ἐσθίουσιν αὐτὸν καὶ βλάπτονται



ὀλοιὴν γὰρ ἑρπυδόνα γυίων τόν τε ποδισμὸν ×
καὶ τὸν συρμόν . ἄτις δὲ ἀντὶ τοῦ τὴν ἀφρο
σύνῃ τρώγωσι τοὺς καναρθήσαντας κλά
δους . οἷα νέον βρωτῆρας · οἷα γὰρ οἱ νεωστὶ
ἐν τοῖς κνησμοῖς τοὺς βρωτῆρας ὀδόντας ὑ
ποφαίνοντες τοιοῦτος φησὶ κνησμὸς ἐν
τοῖς φαγοῦσιν ὑοσκύαμον οἷος ἐν τοῖς παι
σὶν ὅταν ἀποβάλλωσι τοὺς ὀδόντας · /
βούκραιος δὲ εἶδος βοτάνης . τοῦτο δὲ
καρπὸν ἐκβάλλον κατὰ τὸ βοὸς κέρας ,
διὸ καὶ τῆς ὀνομασίας ταύτης ἔτυχε . καὶ
σιτογόνου τοῦ εἰς σιτισμὸν καὶ τροφὴν
γινομένου . γράφεται καὶ χιλογόνου . ὄρρα
κέραι · ὥσπερ οἱ βούκραιοι κεραίας τι
νὰς ἀκαρπεῖς κάτωθεν ὑπὸ τοῖς
ὑπηνεμίοις φύλλοις αὔξει . ἄλλως σι
τογόνου γράφεται καὶ κεβληγόνου τοῦ
ἐν τῇ κεφαλῇ ἔχοντος τὸν γόνον . κε
βλὴ γὰρ ἡ κεφαλὴ ἐν συγκοπῇ τοῦ
. α . καὶ ἔστι τοῦ . φ . στ . β . ἀτμε
νίῳ δὲ τῶν ἠλαίῳ τῶν μετὰ κακοπαθείας
γινομένων . ἀτμένες γὰρ οἱ δοῦλοι οἷς
ἕπεται τὸ κακοπαθεῖν . μεταφησὶν
ὀργάζεσι τὸ βούκερας ὅτε ἐμπλέουσιν

καὶ βραχὺ τῷ ἀτμηνίῳ(?) ἐλαίῳ. ὀμόβρωτον
τουτέστιν ὠμὰ τὰ φύλλα διαμασᾶσθαι
καὶ τὸν χυλὸν αὐτῶν καταπίνειν. κίχορα
δὲ καὶ καρβαρίδη(?) εἴδη λαχάνων καὶ γη-
θυλλίδες εἶδος κρομμύων ἤτοι τὰς κεφα-
λὰς ἢ τὰς ῥίζας ἢ τὰ ὑπογείων λεγόμενα
ἀγελόφυτα(?). καὶ εὐάγλις(?) καλὰς ἀγλί-
θας ἔχουσα· ἀγλῖθες οἱ κόκκοι ἐξ ὧν αἱ
κεφαλαὶ τῶν σκορόδων συγκεῖνται ἀπὸ
σκελίδια ἢ σωψί(?) φασι. τὰ δὲ κίχο-
ρα οἱ ἀττικοὶ κιχόρεια φασιν. ἠμφίς(?) δὲ
γογγύλια. μήκωνος κεβληγόνου τῆς
ἐν τῇ κεφαλῇ τὸν γόνον ἐχούσης· ὅ ἐστι
τὸ σπέρμα, συγγενὲς γὰρ τὸ β τῷ φ. καὶ
Καλλίμαχος ἀμφί τε κεβλὴν εἰρυμένος
ἀγλίθων οὖλον ἔχει στέφος. τινὲς τῆς κα-
τὰ τὴν κεφαλὴν κομώσης μήκωνος.
βοτάνη γάρ ἐστιν ἡ μήκων ἐν τῇ κεφαλῇ
ἔχουσα τὸν γόνον. μήκων δὲ εἴρηται παρὰ
τὸ μὴ κοῦσαι(?) ὅ ἐστι μὴ ἐνεργεῖν· τὸ κοῦσαι(?)
γὰρ λέγεται τὸ ἐνεργεῖν. κωλυτικὸν γὰρ
κατὰ φύσιν ἐνεργειῶν. καθυπνέας ὑ-
πνοῦντας ἀλλὰ γὰρ τὸ μηκώνειον ἐξ ὕπνου(?)
ἐτυμολογοῦσι δὲ τὴν μήκωνα ἤτοι τὴν

μὴ ἀκούειν ὡς εἴρηται μηδὲ ἐνεργεῖν ποιοῦσαν
οὐκ ἀναπίτναται δὲ ὄσσε· ἀντὶ τοῦ οὐκ
ἀνοίγονται οἱ ὀφθαλμοί. καὶ δέδηεν ἀν-
τὶ τοῦ δέδεται δεσμεῖται. ὀδμῇ δὲ ὀ-
ζώδης ὀσμὴν ἔχων τὴν ἀπὸ τοῦ ὀποῦ
φέρεται γὰρ ἱδρὼς ψυχομένου τοῦ σώματος
τὸ δὲ πρόσωπον ὠχρὸν γίνεται καὶ τὰ
χείλη ἐμπίμπραται. ἐκ δ' ἔτι παῦρον
ἐκ δὲ τοῦ αὐχένος ὀλίγον ἆσθμα ἐξορμᾷ(?)
ψυχρὸν διέρχεται καὶ πάρεσις τῶν σ-
ἀρόνων(?) γίνεται. πολλάκις δὲ καὶ οἱ ὄνυ-
χες πελιδνοὶ γινόμενοι ὡς ἐκ τῆς τῶν αἱ-
μάτων χωρεῖν(?) καὶ ἡ εἰς στρέβλου
μένη καὶ οἱ ὀφθαλμοὶ κοῖλοι γινόμενοι
θάνατον ἀπαγγέλλουσιν. μηδοίο(?) δὲ
ἐπιμελοῦ τῆς θεραπείας καὶ βοήθει γλυ-
κὺν θερμὸν οἶνον διδοὺς αὐτῷ. κεκαφη-
ότα δὲ ὑπερπλὰς(?) ἀντὶ τοῦ ὀλιγοψυ-
χοῦντα πληρώσεις καὶ τὸν [illegible] θερμῷ
διαπύρῳ. ἶσα δὲ μηλίας ἀντὶ τοῦ
σύμμισγε καὶ μίγνυ μετὰ θερμοῦ οἴνου. ὑ-
μηττίδος δὲ ἀττικοῦ ἀπὸ ὑμηττοῦ
τοῦ ὄρους ἀττικῆς. αἱ τ' ἀπὸ ῥόδου
αἱ μηλίαι ὡς φησιν αὐτός. ἐποίμε-
[illegible] γένεσις ταῦρος δὲ μηλιάδων(?)

κατὰ δρυὸς παλαιάς· τινὰ μελιτουργίαν
ἐκτίθεται· μήπω γὰρ ἠθροισμέναι αἱ μέ-
λισσαι, ἀλλ' ἔτι ἀγελαῖαι οὖσαι ἐν τοῖς κοι-
λώμασι τῶν δρυῶν τὰ κηρία συνετί-
θεσαν. καὶ νῦν ἔτι ἐστὶν ὅτε τοῦτο ποιοῦ-
σιν. ἄλλως· ἔνθα δὲ κοίλῃσιν· τοῦτο γὰρ ἡ-
σίοδος· ἄκρη μέν τε φέρει βαλάνους, μέσση
δὲ μελίσσας· καὶ φωκυλίδης κάμνει δὲ,
ἠερόφοιτος ἀριστοπόνος τε μέλισσα ἢ πέ-
τρης κοίλης κατὰ χηραμὸν ἢ δονάκεσσιν
ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος ἔνδοθι
σίμβλων καὶ τὰ ἑξῆς. φησὶ δὲ ὅτι ἐν τῷ
ὑμηττῷ πρῶτον ἐγένοντο μέλισσαι. σμω-
δρέες δὲ συνεχόμεναι βότρυδον. πο-
λυωπέας πολλὰς ὀπὰς ἐχούσας τοι-
αῦτα γὰρ τὰ κηρία. ὀμπῶσαι· οἱ μέλιτι
δεδευμένοι καὶ πυρῶν. καλλίμαχος
ἐν δὲ θεοῖσι φλοιὸν ἐκάλεσεν ὀμπνίας τού-
τους γὰρ δήμητρι ἔθυον· νίκανδρος ὁ ἰδίως
ἔθηκε τὰ κηρία ὀμπνίας. βοσκόμεναι
δὲ θύμα· ἀντὶ τοῦ διερχόμεναι τὸ θύμα
τοῖς ποσί. τὸ δὲ ἀνθεμόεσσαν γράφε-
ται καὶ ἠνεμόεσσαν. ἐρείκην· ἐρείκη δὲ ἐστὶ
δένδρον οὗ τὰ φύλλα οἱ μυούμενοι ὑπὸ



στεφανοῦσιν διὰ τὸ λυκτικὰ εἶναι καὶ ἀντὶ
γὰρ τὸ ἀγονεῖν ἀγονοῦσιν καὶ χωρὶς γο-
νῆς μένειν. δήποτε δὴ ῥοδέοιο· τοῦ στό-
ματος φησὶ μεμυκότος βιάζειν διανοίγειν
αὐτό. διογλίζων τὸν κυνόδοντα· καὶ ἰε-
νέου μᾶλλον βαθὺ χορέσκων ἤχοιο· ἀντὶ
τοῦ ἧκε τὸν ἰὸν μετὰ τοῦ βίου τὸ ἔσθιον
ἐμεῖον ἐκβάλλων. ἀλλὰ σὺ γ' ἢ λίνῳ τῶν
ἀσπαλάθων καὶ ἐντρίχῳ ἐρίῳ. ἄλλως,
καὶ ἀμύνουσιν οἱ παρόντες τοὺς συμμεμυκό-
τας χαλινοὺς αὐτῶν ἀνοίγειν. ἐν θλίβοις
τῶν ἐλαιῶν βοηθεῖ. ἐν θλίβοις δὲ ἀντὶ
τοῦ πιέζοις. καὶ ἰρινέου τοῦ κυπρείου ἤδη
του φησὶν ὅ ἐστι θερμαντικόν. καὶ μορόεντος
ἀντὶ τοῦ μορθεάστης καὶ ὅμηρος· τρίγλη-
να μορόεντα. διὰ ῥέεθρος ἔγρεο κατὰ πρό-
σωπον τύπτων καὶ πληκάτων ἔγρε-
κνώσσοντα παλάσσων· ἀντὶ τοῦ κοιμώ-
μενον κινῶν καὶ σφῶν ἀναστήσον ὅπως κε-
φαλαλγῶν τὸν ὀλέθριον ὕπνον ἀπο-
βάλλῃ καὶ τὸν κακὸν πόνον ἐξεμέσῃ
βοηθούμενος. κῶμα· τὴν μεταξὺ ὕπνου
καὶ ἐγρηγόρσεως ἀναφορὰν κῶμον κα-
λοῦσιν ὅθεν καὶ κωμάζειν τὸ ἐπιθοι
τῶν

τοῖς κοιμωμένοις. τὸ δ' ἴημος ἐξερύσει· ἀν-
τὶ τοῦ τηνικαῦτα ἐξεμέσει ἀποσοβῶν
τὸ κακὸν ἄλγος. ἀλλὰ χλιαρὸν ἤτοι
ἑκάστη βρέχων ἐν οἰνελαίῳ ... καὶ ἀνα-
θέρμαινε. ἄλλοτε ὑγροφοίτῃ ἐν πυέλῳ
κατάβαλλε δὲ αὐτὸν ἐν πυέλῳ ἤτοι ἐν σκάφῃ
θερμοῦ ὕδατος καθῆναι καὶ κατάντλει τοῦ
θερμοῦ ἵνα τὸ συντετραμμένον θέρμα δια-
λυθῇ. ἐμβάλλεο δὲ σάρκα τοῦ παρόντος
δηλονότι ἄγρ' ἔχθρον αὐτοῦ. κυνείως δὲ
τὸ μονάσθαι ὅτι τὸ τοι πίονος λούεσθαι
νῦν ὅτι τὸ τοι ἐν βαλανείοις ἢ θερμοῖς ὕδασι. αἷ-
μα δὲ ἀναλυόμενος ἀντὶ τοῦ τὸ θρομβω-
θὲν αἷμα τοῦ παθόντος διὰ τὴν ἐκ τοῦ
δηλητηρίου. ψύξιν ἀναχέων τῇ θέρμῃ
τῶν λοετρῶν. τετανόντ' ἐσκληκότα·
ἤγουν τὸ κατεσκληκὸς δέρμα φησί. λα-
γωοῖο κακοφθορέος τοῦ θαλασσίου λαγω-
οῦ ὅς ἐστιν εἶδος ἰχθύος καὶ ἱππῶναξ
μνημονεύει. ἔστι δὲ μέγας τὴν ... φάνταμ
θανάσιμος δὲ βρωθείς. οὗ ἡ μὲν ὀσμὴ
τῶν ἰχθύων λεπίσι καὶ τὰ ἀπὸ πολύ-
ματι αὐτῶν ἔοικεν· ἡ δὲ χρόνοις ἰχθύ-
ων σεσηπότων γεύσει ὁμοία ἐστί. κακο-

φθορέος δὲ κακῶς φθείροντος. καὶ πολυστε-
ου ἅλμης ἤτοι τῆς πολυψήφου θαλάσσης
στέφαι γὰρ αἱ ψῆφοι τῆς θαλάσσης
γενομένων δὲ ἰχθύων. καὶ σαπρωθέν-
των ἀντὶ τοῦ σαπροθέντων. ὁπότ' ἂν
λοιποῖς ἀέξῃ· ἤγουν ὅταν ἢ λοιποῖς τοῖς
ὅλοις αὐξήσῃ μολύνῃ τουτέστι τὸ σῶμα
φθείρῃ καὶ ἀφανίσῃ. αὔξεις γὰρ τὸ σῶμα
καὶ γὰρ μετὰ τὸ ἀγρευθῆναι ὁδονδήποτε
τε ἰχθύων ἡμέραν ... αὐτοῦ τὸ λέπος αὐ-
τοῦ ἀφανίζει αὐτὸν καὶ ἐξανθεῖ. ὅς·
δήτοι ῥυποέσσης ὁ λαγωὸς νέουσι ...
ὅμοιός ἐστι τοῖς τριχίοις ἢ κατὰ τὰς ...
τῆς τευθίδος. ἢ ἀτελεύτου τουτέστι τοῦ
ἄφρενος ὑπὸ λίγεσιν τῷ ... γεννώ-
δης ὑπάρχει. ὅς λιγαὸς ὁ λέγει τοὺς βο-
στρύχους ὅ ἐστι τὰς κόμας τῶν τευθίδων καὶ
σηπιῶν ἐν αἷς ἄρτι γεννώμενοι οἱ θα-
λάσσιοι λαγωοὶ διατρίβουσιν. κόλπῳ
δὲ τοῦ μηλάνης. ἀμέρδει ...
γὰρ ἰδὼν τὸν ἁλιέα ἐκβάλλει τὸ μέλαν
εἰς τὴν θάλασσαν ἵνα ἀθεώρητος ᾖ.
τοῖς δὲ ... ἀκολουθεῖ σκότωσις
χολώδης ἰκτεριώδης τοῦτο γάρ φησιν

τῶν ἤτοι ῥοθοὺς τούτοις τῶν φαγόντων τὸν λα-
γωόν· περιστολάδην δὲ ἀντὶ τοῦ συνάπτεσθαι
ἀλλοῖον κατὰ σταλαγμὸν ἐκπίπτει. ὁ δὲ
λόγος· αἱ δὲ σάρκες οἷον κατὰ σταλαγμὸν ἐκ
τοῦ κατ' ὀλίγον τηκόμεναι καὶ καταστάζουσαι
φθείρονται· ὁ δὲ πεφθιὼς οὐ πέσσεται. ἄλ-
λοτε ἑνὸς ἀρσενικῶς εἶπεν ὁ ἑνὸς τοῦ
περὶ τὸ οἴδημα. καὶ τοῦ οἰδήματος κατὰ τὴν
ἐπιφάνειαν γίνεται τὸ οἴδημα. μάλιστα δὲ τὰ
σφυρά. περὶ δὲ τὰ τοῦ ποδὸς ὥσπερ μῆλα
γίνονται οἰδήματα ἐν φυτήματι. κυλοι-
διῶντες δὲ τοὺς ὀφθαλμοὺς διοιδῶντες καὶ
κοίλους ἔχοντες κοιλότητα. δὴ γὰρ ἐθωρή-
τησιν ἐπακολουθεῖ γὰρ καὶ ὀλιγωτέρα
ἔκκρισις τῶν οὔρων ποτὲ μὲν πορφυρᾶ
ποτὲ δὲ αἱματώδης διὰ τὸ ξύεσθαι τὰ
ἐντός. πᾶς δὲ ἤγουν τουτέστιν ἰχθὺς φανεὶς
τοῖς ὀφθαλμοῖς αὐτοῦ μισεῖται. τουτέστιν ἐὰν
ἴδῃ ἰχθὺν ἀποστρέφεται. τοῦτο γὰρ σημαίνει
τὸ ἐμυδάξατο ἀπεμυκτήρισε ἤγουν
σατο τοσοῦτον ὡς καὶ ναυτιάσαι καὶ ἐμέ-
σαι ὑπὸ τῆς ἀηδίας βιάζεσθαι. τῶν μὲν
φοινήεσσαι. γράφεται. τῶν μὲν φωκήεσσαι

ἀντὶ τοῦ φωκικῶν. ἡ γὰρ τοῦ ἑλλεβόρου πόσις
ἐν Φωκίδι δοκεῖ ἀρεθῶσαι. κελεύει δὲ ἑλλέ-
βορον ἢ σκαμμωνίαν διδόναι τουτέστι τοῖς κά-
μνουσι ἵνα τῆς κοιλίας ταραττομένης συγκρατῇ
καὶ τὸ τοῦ φαρμάκου κακὸν συνεκπορ-
ευθῇ. φοινήεσσαν δὲ εἴρηκε τὴν τοῦ μέλανος
ἑλλεβόρου πόσιν. τὸ σκαμμώνος καὶ τὸ ἐν-
δεῖαν τοῦ σ. λέγει δὲ τὴν σκαμμωνίαν χυλόν.
ἐκφύρματα δὲ χολῆς ἀντὶ τοῦ κόπρια
καὶ σκύβαλα ἐκβάλλει. καὶ βρεφη-
έντος τοῦ ὄνου ἤγουν τὸ βρεφᾶσθαι.
κεδρινέης κεδρινέαν ναῦ λέγει καὶ πί-
σσαν αὐτὴν εἶπε. πᾶσαν γὰρ τὸ ἀπο-
στάζον πίσσαν καλεῖ. σπάνου δὲ βά-
ρος ἀντὶ τοῦ ὀβολοῦ ὁλκήν. οὐ γὰρ μό-
νον τὸ σπέρμα ἢ τὸ ἔλιμα σπάνος
λέγει ἀλλὰ καὶ ἡ τοῦ ὀβολοῦ ὁλκή.
ἄλλως. τῆς πεπηγυίας κεδρίνης πί-
σσης. λέγει δὲ τὴν κεδρίαν. οἰνωπῆς
ἴδος ἐριᾶς καὶ οἰνάδος. καὶ περμύνθου
δὲ ἴδος ἐριᾶς. ὠνόμασε δὲ αὐτὴν ἀπό
τινος πεσμένου κηπτός. καὶ τὴν αὐ-

γινώσκειν δὲ καὶ ὅσα τὰ σκληρὰ ἐρύθρη. ἢ τοὺς
ἀπαλοὺς κόκκους κατὰ ἀντίφρασιν. τῇ
ἰσχνῇ καλύπτρᾳ καλύπτουσιν ἢ ὅτι κατὰ-
φη τὰ λέπη τοὺς φλοιούς. ἄλλως. δια-
φαίνουσι καλοῦσι τῇ ἰσχνῇ περιβολῇ τῶν
κόκκων. ὅσα φησὶ τὰ σκληρὰ καὶ φοίνια
ἢ ἐρυθρὰ ἐρείψει· τουτέστι τοὺς ἐρυθροὺς
κόκκους τῇ ἀραχνώδει καὶ ὑμενώδει κα-
λύπτρᾳ διαφαίνουσι τουτέστι τῷ
ἔσωθεν τοῦ δέρματος ὑμένι. ἄλλοτε δ' οἱ
νοσβεφῆτα(?) τὴν ἐν οἴνῳ φησὶ τρεφομένην
βορὰν τουτέστι τὴν σταφυλὴν ἐν κυρτίδι ἐμ-
βάψας καὶ οἱονεὶ ἐκπιέσας δίδου αὐτῷ
πιεῖν οἱονεὶ γλεῦκος ὃ λέγεται ἐν συνηθείᾳ
μοῦστον. ἄλλως κυρτὶς κατασκεύασμά
τι ἐκ λεπτῶν σχοινίων γεγονὸς ᾧ καὶ οἱ
μυρεψοὶ χρῶνται περὶ τὴν τῶν μύρων
ἔκθλιψιν ὑλιστήριον(?) αὐτὸ καλοῦντες
ἢ καὶ ὑλιστήρ(?) καὶ ὁ ῥιπτήρ(?) δὲ κατα-
σκεύασμά τί ἐστιν ἐν ᾧ τὰς σταφυλὰς
ἀποθλίβουσιν. λέγει οὖν σταφυλὴν δι-



δου πιεσθεῖσαν. ἢν δέ τις ἀναχέῃ· ἐὰν δέ τις
φησὶ ξηρᾷ συνεχόμενος δίψῃ καὶ προσ-
πεσὼν ἐπί τινα ποταμὸν ἢ λίμνην
πίνῃ ταυρηδόν. τῇ δὲ βίᾳ ἐκχυσμοῦ προσ-
πέσῃ βδέλλα καὶ τὰ ἑξῆς. ἰστέον δὲ ὅτι
ἀπὸ τῆς βδέλλας γίνεται οἶστρος. τρία
δὲ κυρίως μὲν τὰ τῆς συκῆς φύλλα νῦν
δὲ τῶν μνίων φησὶ τουτέστι τῶν βρύων
τοῦ μέν τι ἐρριζηδὰ(?) λάπτοντος(?) τὸ πίνοντος
τούτου φησὶ ἐρριζηδὰ πίνοντος ἡ φιλαίμα-
τος βδέλλα προσανελάζουσα ἐπὶ τὰ χεί-
λη αὐτοῦ τῆς βρεφώμης(?) ἕνεκα τῇ ῥύμῃ
τοῦ ποτοῦ ἤτοι τῇ φορᾷ καὶ τῇ ὁρμῇ
προθυμενε(?) κατὰ τὴν λαπάραν αὐτοῦ
ἱμείρουσα καὶ τοῦ φόνου. ἄλλως ῥύ-
μη ἅλις βούλεται εἰπεῖν ὅτι φθορμένη(?) τῇ
τοῦ ὕδατος ὁρμῇ ὅπου ὁ ῥοῦς αὐτὴν
ἤλασε(?) καταπεσοῦσαν ἀγρίως πρὸς
φύεται ἀμέλγουσα τὸ αἷμα ἢ ὅ ἐστιν πρὸ
ἐρεφθεὶς(?) νυκτὸς ἢ ὅτε ὑπὸ ζοφώδους
νυκτὸς κεκαλυμμένος τὰς αὐγὰς ἢ
τοὺς ὀφθαλμοὺς τὰ χείλη αὐτοῦ πρὸς

τὰ χείλη τῆς ὑδρίας πιέσας καὶ κατακλίνας
ἑαυτὸν ἀφραδέως τῷ ποτῷ· ἤτοι τὰς
μὲν ἵνα πρόφθιτον μετέβη ἀπὸ τοῦ
στενικοῦ εἰς τὸ πληθυντικόν. ταύτας δὲ
τὰς βδέλλας φησὶν ὁπόταν ὁ ἐρυσάμενος
καὶ τὰ ἑξῆς. ἀμβλυνόμεναι δὲ ἀντὶ τοῦ
πιεζόμεναι ἤτοι πιέζουσαι. καὶ τὸ
πύλησιν ἐφιζόμεναι τουτέστι τοῦ πνεύ-
μονος ταῖς πύλαις ἢ τῇ ἀρχῇ τοῦ
λαιμοῦ ἤτοι τοῦ φάρυγγος ἢ τοῦ ἥ-
πατος ἢ τοῦ στομάχου. πολλάκις δὲ ἐπι-
νήνοθε γαστρὸς ἀντὶ τοῦ ὅτε τῷ τοῦ
στόματι τῆς κοιλίας ἐπίκειται λαμβά-
νουσαν τὴν προσφάτως ἐσθιομένην τρο-
φήν. τὸ δὲ ἐπενήνοθεν ἀντὶ τοῦ ἐπίκειται.
πάλιν δὲ ἀνέδραμεν ἀπὸ τοῦ πλη-
θυντικοῦ ἐπὶ τὸ ἑνικόν. νέον δὲ ἐπενά-
σατο δαῖτα ἤτοι ἣν ἄρτι ἔφαγε
διεμερίσθη καὶ ἐπεβροχήθη. τοῦ σὺ
ἤτοι τοῦ καταπίνοντι τὴν βδέλλαν νέμε
ὄξει δοίης συνηρμοσμένην τοῦ ὄξους

κραντῆρσιν. χιόνος ἄν ποτε τουτέστιν ὑπὸ
χιόνος παγέντα καὶ τὸ νέον βορέης πα-
γέντος ἀντὶ τοῦ νέως βορρᾶς πνοαῖς
παγέντος τοῦ κρυστάλλου. ἠὲ σὺ γυρώ-
σαιο ἀντὶ τοῦ σκάψας ὀρύξας. καταψυ-
χέα δὲ βώλακα τὴν ὑγρὰν γῆν βῶλον
τῆς γῆς λέγει δὲ τὰ ἄλας ἢ τὸν ὀρυκτὸν
ἅλα ἐν ἁλμυροῖς γὰρ τόποις οὐ γίνεται
ἡ βδέλλα διότι τὸ ἁλμυρὸν ὕδωρ
πρὸς ἀντιπάσσαν αὐτῆς. ἅλμην δὲ
κηδεύει [illegible] καππαδοκικοῦ ἁλός
ναιομένην δὲ ἤτοι κατοικουμένην ὀλιγοδρομῶν
κεφαλιωμένην. τὸ θαλάσσιον δὲ γράφεται
καὶ θαλεροῦ ὅ ἐστι ἄφθονος ἐστίν. ἢ
αὐτὴν ἀναβάπτε ἢ αὐτὴν φησὶ τὴν
θάλασσαν τουτέστι τὸ θαλάσσιον ὕδωρ
διδόναι πιεῖν ποτὲ μὲν ἡλίῳ θερμαί-
νοντι ποτὲ δὲ πυρί. βάπτε γὰρ
ἀντὶ τοῦ ἄντλει γέμιζε. καὶ ἠελίοις
θερινοῖς τουτέστι ταῖς ἡμέραις καὶ
τὸ συνεχὲς ἀντὶ τοῦ ἐπὶ πολὺ τοῦ

πνεῖ θάλαττα. ἀλλὰ δὲ περὶ τὸν τὸν ὀρυκτὸν
τὸν ἐχμέταλλον. καὶ ἐμπίσαις ἀντὶ τοῦ
ἐμμίξαις τὴν ἄλμην λέγει γὰρ ἀλμυρὰ
ὅντινα ὁ ἁλοπηγὸς ἀνὴρ συνάγει. καὶ
τὸ νέον ὑφιζάμενον ἀντὶ τοῦ κάτωθεν
ἐκ βάθους συνιστάμενον τοῦ χαράματος
τῶν ἁλῶν ἐπεὶ οὕτω μίξιν λάβωσιν
ἱστέον ὅτι οἱ ἁλοπηγοὶ μιγνύουσι τοῖς
θαλασσίοις ὕδασι γλυκέα ὕδατα
καὶ συνταράσσουσιν ἀμφότερα ὥσπερ
ἀποπλύναντες τὰ θαλάσσια ὕδατα·
τοῦ βορβόρου τοῖς γλυκέσιν ἐν γοῦν τῷ
ταράσσεσθαι ἀθρόος τις ἀναδίδοται ὅντινα
λέγουσιν ἄχνην ἁλός. μὴ μὲν τοι ζύμω
μα κακόν καὶ γὰρ ζύμωμα εἶπε τοὺς μύ
κητας ἐπειδὴ ζύμωμα ἔοικε τῆς γῆς
τουτέστι πηλῷ ὅμοιος γάρ ἐστι βώλῳ
γῆς. ἄλλως ζύμωμα κακὸν τοὺς μύκη
τας φησὶν ἐπειδὴ ἐκ τῆς γῆς γεννῶνται
οὕτω ὅτε μὲν ἐν τοῖς στέρνοις ἀνοιδοῦ
σιν. ὅτε δὲ καὶ περὶ τὸν λαιμὸν ἀνίσχ

ἢ ἀπὸ ἁπάντων κάκωσις. τὸ δὲ ἐνεργοῦσιν
οἱ μύκητες ὅταν φυτεύωσιν ἐν τῷ τόπῳ
ὅπου ἐφώλευεν ἔχιδνα. ζύμωμα δὲ
αὐτοὺς ἐκάλεσε τῷ ἤδη ἀναζυμοῦσθαι
ἐκ σαπρῶν ἐπιπορευόμενα ἢ ὅτι ὥσπερ
ζύμωμά ἐστι τῆς γῆς. ἄλλοτε δὲ ἄγχι
οἱ μὲν φασὶ ποσάκις τινὰ εἶναι πλησίον
τοῦ φωλεοῦ τῆς ἐχίδνης φυομένων
καὶ τὸ ἄσθμα αὐτῆς ἀνιμωμένην αὐ
τήν. ἄλλοι δὲ ἐκ τοῦ ἱδρῶτος τοῦ ὄφεως
τὸ δὲ πολλάκι μὲν στέρνοισιν ἀνοιδέον
κατὰ βρωθέντες οἱ μύκητες ἀναδιδοῦ
σιν ἐν γαστρί. καὶ τὸ δ' ἄρ' ἐπιφω
λεύοντα ἀντὶ τοῦ ὅτε τὰ ἐπὶ
φωλεύοντα βαθὺν ὁλκὸν τῆς ἐχίδ
νης ἢ τὴν πρόσθεν
βαθὺν φωλεὸν τῆς ἐχίδνης. ἰὸν
ἀποπνείοντα. ἤτοι τὸν ἰὸν αὐτῆς ἀπο
πνέον τῶν στομίων τῆς ἐχίδνης. σφ.
δὲ καὶ ἀνικμάζον τουτέστιν ἀνιμω
μένη καὶ ἀναπίνου τὸν ἰὸν καὶ
τὸ ἀποσφῶλι ὁ ὄζει ... ἄσθ
μα

τουτέστι τὴν χαλεπὴν προνομὴν τῆς ἐχίδ-
νης τῶν στομίων. τοὺς μύκητας δὲ
ἀδιαφόρως ζύμωμα καλοῦσι. παμ-
πήδην γὰρ ἀντὶ τοῦ πανταχοῦ οἱ πλεῖ-
στοι ἢ καθολικῶς μύκητας ὅλους κα-
λοῦσιν οἷον δὲ ἀμανίτας. ἄλλο κέκριται
ὄνομα πολυώνυμον γὰρ ἐστι τὸ ζύμω-
μα ὃ γὰρ καλεῖται ζύμωμα μύκης, ἀ-
μανίτης βωλίτης. / σὺν γὰρ ἢ ἐλαφάνοιο
δίζου φησὶ τὸν καυλὸν ἤτοι τὴν κε-
φαλὴν τῆς κράμβης τουτέστι τὸν
ἀσφάραγον. ... ἢ ἐλάφανας τὴν
κράμβην φησίν. δίχησον γὰρ πρὸς
ἀντιπάταξαν. ἢ εὔτης εὔτης ὁ
ἤτοι πηγάνου χλοερὸν θάλλοντα
καὶ χλοάζοντα ἔρβολον ὅ ἐστι κλά-
δους κόντας. ... καὶ ἔρσηκα οἷον
κλῶνα. χαλκοῖο δὲ ἤτοι παλαι-
ᾶς χαλκάνθου. ... γὰρ
χαλκοῦ ἄνθος πτισὸν κληματόεσσαν



κληματίδος φησὶ φρύγανον ἀποσδὸν ἐν τῷ
ὄξει τουτέστιν ἔμβαλλε ἀπόσδον κλήματος
ἐν ὄξει. πυρέτιδα δὲ βοτάνην πύρε-
θρον καλούμενον. καὶ βάμματι ὄξους
τὸ πέντε φύλλον. ἢ καὶ τὸ τοῦ κηδάμου
φύλλον τὸ ἐν ταῖς πρασιαῖς αὐξανόμενον
ἄλλως τουτέστι φύλλου ἀντὶ τοῦ τὸ
κηδάμου φύλλον τὸ ἐν ταῖς πρα-
σιαῖς αὐξανόμενον καὶ μήλωνος τὸ μη-
δικὸν καλούμενον ἔστι δὲ εἶδος φυτοῦ.
καὶ ἐμπρίοντα στόμα ἢ πῆ τὸ τραχὺ ὂν
τῇ γεύσει ἢ προσσον οἱ κλάδοι τοῦ
σινάπεως τραχύτητα ἔχουσιν. οἴνη-
ρὴν δὲ ἀντὶ τοῦ οἴνου τρύγα καὶ ὀπ-
τὴν ἐν ὄξει τρίψας δίδου πιεῖν.
ἢ καὶ στρουθοῖο ποτὸν ἀφόδευμα
ὄπτου ὄρνιθος καὶ στρουθοῦ. παλέ-
... τὸ μετά τινος δὲ τοῦ
... αὐτὸ ... καταπτ... τὰ πεφυ-
ρμένα μετὰ ὄξους. ραφάνου δὲ
... τὴν δεξιάν. ταύτην φησί

κατὰ τὰς ἐπὶ τὸ ἐμέσαι ὡς ποιητικὴν θερα-
πείαν καὶ πρακτικωτάτην. ταύτην μὲν οὖν
εἰς τὴν φάρυγγα καθιεὶς καταλοιπο-
τὴν ὅλην κάκωσιν. λιποῤῥίνοιο
καὶ γὰρ ἡ σαλαμάνδρα ζῷόν ἐστι τε-
τράπουν μικρὸν ὡς ἡ σαῦρα τῷ
χρώματι κροκοδείλῳ ἐοικός· ψυχρὰ
δὲ τῇ φύσει· διὸ καὶ τὸ πῦρ σβεν-
νύει· οὔτε δέρμα ἔχει οὔτε λεπίδα
ὅθεν καὶ λιποῤῥίνου αὐτὴν ἔφη. ῥινὸς
γὰρ τὸ δέρμα. ἢ διότι λίπος ἀφίη-
σιν ἀπὸ τοῦ δέρματος. γλίσχρος
γάρ ἐστι καὶ λιπώδης καὶ ἀπὸ
τοῦ σώματος ὑγρασίαν ῥεῖ ἔσωθεν
ἥτις τὸ πῦρ σβεννύει. ἄλλως ἡ
σαλαμάνδρα εἶδος ἀσκαλαβώτου
ἀνδρέας δέ φησι κἂν τῷ αἵματι
αὐτῆς ἢ χρίσῃ ἢ ἐσθίῃ τὰ χρίσας ἀ-
βλαβὴς ἔσται ἐκ πυρός. δυσάλυ-
κτον δὲ ἀντὶ τοῦ δυσφύλακτον. τοῦ
γλώσσης βάθος περιφραστικῶς.



ἀντὶ τοῦ ἡ γλῶσσα ἐπρήσθη. τῶν πι-
νόντων γάρ φησιν ἡ γλῶσσα παχύνεται·
οὗτοι δὲ σφαλλόμενοι τετραποδίζ(ουσ)ι
συνεχῶς κατὰ τὴν βρέξιν αἱ γὰρ διά-
νοιαι αὐτῶν ἀμαυροῦνται καὶ ἀφα-
νίζονται. σάρκα δ' ἐπιβροχόωσιν.
ἀντὶ τοῦ ἐπιβρέχουσι τῇ σαρκὶ πε-
λιδνότης ἐξ ἧς ἐργασία. καὶ ἐπιπορ-
πευομένης τῆς κακίας ἤτοι σκεδα-
ννυμένης ἢ σκεδαζούσης καὶ τὰ
ἑξῆς. βοήθειαν δὲ διδούς. ῥητίνην
πευκίνην ἀναμίσγων ταύτην τῷ μέ-
λιτι. ὀμώδιγγες αὗται κατὰ σῶμα τὰς
τῆς σαρκὸς στάζουσιν. ἐὰν δὲ στίζουσι
γὰρ κατὰ τὴν οἱ στιζόμενοι. γράφεται
γὰρ στίζουσιν ἵν' ᾖ σημαίνει τὸ ποι-
κίλως πιδύουσαι κατὰ τὴν
τοὺς στιζομένους. καὶ δαιομένης δὲ
ἀντὶ τοῦ μεριζομένης πανταχοῦ τοῦ
σώματι. τενθρήνης καὶ γὰρ τεν-
θρήνην εἶπε τὴν τενθρηδόνα. ζῷον

ἐστὶ μελισσοποιὸν ὃ ὑπ᾽ ἐνίων λέγεται
βέμβιξ· ἐστὶ δὲ ἐμφερὲς μελίσσῃ.
ἄλλως· τενθρήνη εἶδος μελίσσης. ἢ
ὅπου αἱ μέλισσαι διατρίβουσιν ἤτοι
εἶναι τὸ μελισσεῖον. δύναται δὲ καὶ τὰ
συγκοπὴν τενθρηδόνος ἢ τεταλικοῦ.
ὅμηρος πρότερος τενθρηδόνος υἱός. ἀλλ᾽
τὸ ἢ καὶ ἡ τενθρηδὼν ὅ ἐστι μελίσσης
εἶδος ποιεῖ βία. παρακελεύεται δὲ ἐκ
τούτων λαμβάνειν. ἡ τῆς χαμαιπίτυ-
ος ἢ οἱ στρόβιλοι σὺν ἑψήσας οὖν φη-
σι τοῦτο τοῖς φύλλοις τῆς χαμαιπίτυος
φησὶ τῆς βλαστήμονος ἀναμεμιγμένως
κατεψήσας τὰ φύλλα καὶ τοὺς κλῶνας
ὅσους ἐθρέψατο ἡ πόα τουτέστιν
ὅλα ὁμοῦ σύμμικτα ἑψήσας δίδου
-σιτίον. ὁμωνύμως λέγεται ὁ καρπὸς ὁ
στρόβιλος καὶ ὁ κλών. ἄλλοτε δὲ
σπράδος ἤτοι κνίδης σπέρμα ξηρὸν
ἢ αὐτὴ ἡ ξηρὰ κελεύει κόπτεσθαι καὶ
ὀρόβου ξηροῖς ἀλεύροις ἐν ἐλαίῳ



μίξαντι διδόναι φαγεῖν ἐκ χειρῶν. μυλοῦ
γῦρις δὲ παλήματι τρίψειεν ἀντὶ τοῦ
ὑπὸ μύλου κατεργασθέντι ἀλεύρῳ τοῦ
ὀρόβου ξηραίνειν καὶ φέρειν καὶ τὰ ἑξῆς
ἐπαλέην ἤτοι ~~ἐξ~~ ἐπηρμένῳ ξηρανθέντος
ὑπὸ ἡλίου καὶ αὐτὴν δὲ τὴν κνίδα
σὺν ἑψῶν τῷ ὀλίγῳ μίσγων ἀλεύρῳ ὀρό-
βου ἢ καὶ κριθίνῳ μετὰ ἐλαίου.
χαλβανόεσσαν καὶ ἡ ῥητίνη καὶ μέλι
καὶ ῥίζα χαλβάνης καὶ ὠὰ χελώνης
διδόναι κελεύει ἑψήσαντα ὑπὲρ ἀν-
θράκων. τὸ γὰρ ἔνθετο πυρὸς ζα-
φλεγέοιο κεραίης. τὸ ἄγαν σφοδρῶς
ἐν τῇ σποδιᾷ τοῦ κέρατος ἑψη-
θῶσι ταῦτα δηλοῖ. κεραία γὰρ λέγεται
τὸ ἄκρον καὶ ἔλαττον. ἡ χαλβά-
νη δὲ ὀπός ἐστιν ἐκ τῆς ῥίζης τῶν
-σω καλάμων πεπηγμένος. ἀλκίοιο
δὲ θαλασσίου ἢ ἐνύδρου. ἡ ταχινῆς
-ος. ἡ ταχεῖα διαπλώς. πήγμασι

δὲ ἀντὶ τοῦ ποιεῖ. τούτοις γὰρ ἐποίουν καὶ
ἄλλοτε δ' οὔρεος ἢ χερσαίης χελώνης ἢ
ὀρφνῆς. αὐδήεσσαν δὲ διὰ τὴν λύραν
ἣν ἐποίησε τῷ ἀπόλλωνι ἀντὶ
τῶν βοῶν. μισθωτὸς γὰρ ὢν ἀδμήτου
ὁ ἀπόλλων ἔβοσκεν αὐτοῦ τοὺς βόας
οὓς ἔκλεψεν ὁ ἑρμῆς καὶ φωραθεὶς ἔδω-
κεν αὐτῷ ἀντὶ λύτρας τὴν κιθάραν τὴν
ἐκ τῆς χελώνης αὐτῷ κατεσκευασμένην
τὴν λεγομένην χέλυν ὅθεν καὶ λύρα
ἐκλήθη οἷον ἡ λύτρα τις οὖσα ὑπὲρ
τῶν βοῶν. κυτισονόμου δὲ ὥσπερ ἡ
χελώνης εἴδη δύο ὄρειον καὶ θαλάσσιον
ὧν αἱ ὀρειναὶ χελῶναι ὑπ' ἀνέμων πληροῦν-
ται ὥσπερ αἱ ὄρτυγες ἢ τῆς ἐν κυτίνῳ δια-
τριβούσης. κυτῖνοι δὲ αἱ ἐξανθήσεις τῶν
ῥοιῶν. χέλυον αἰόλον ἀντὶ τοῦ ὀστρακ-
ποικίλον. καὶ ἀγκῶνας δύο ἤτοι
κανόνας. ὅθεν δέδενται αἱ νευραί. καὶ
πέζαις τοῖς ὤμοις. τοῖς ὤμοις φησὶ



τοῦ ὀστράκου ἀπ' αὐτῆς δύο προσέθηκε πήγματα
ἅ φησιν ἀγκῶνας. γυρίνων δὲ βατράχων
καὶ λαιδροὺς τοὺς ἀναιδεῖς διὰ τὸ βοᾶν
καὶ φωνὴν τραχυτέραν. δαμάζειο τοκῆας
τῶν γυρίνων φησὶ τουτέστι τῶν μικρῶν
βατράχων τοὺς ἀναιδεῖς. πράσων
ἢ ἔλξας ἢ εὐχρόου ὅ ἐστιν εἶδος βοτάνης πρὸς
πάντων ἁρμονιακὸν καὶ χρίσας
ὑγιάσεις τὸν κάμνοντα. ἄλλως κύ-
βω σκαμώνιον. τούτοις ἀρέσεις τὸν
ἄνθρωπον καὶ θανάτῳ πλησίον
ὑπάρχοντα σώσεις. ἡγεμὼν πενταφρύ-
νου διαλέγεται ὅς ἐστι βατράχου εἶδος.
ἐς δὲ τὸν πρῶτον λόγον προσληπ-
τέον τό. τις. ἔνιοι δὲ ἀγνοοῦντες
γράφουσι μετὰ τοῦ. σ. δυσφημ-
ποιοῦντες τὸν λόγον. δύο δὲ γένη
εἰσὶ βατράχων. χειμερινοί τε καὶ
καὶ θερινοί, ὧν οἱ μὲν θερινοὶ κρακ-
τοὶ καὶ ἀβλαβέστεροι οἱ δὲ χειμε-
ρινοί

ἄφωνοι ἢ θανάσιμοι. *ἢ οὖν τοῦ φρύνου* ἀντὶ
τοῦ φωνητικοῦ. εἰσὶ γὰρ καὶ κωφοὶ καὶ
ἄφωνοι. ὧν πρὸς ἀντιδιαστολὴν εἶπε
φρύνου τουτέστι φωνητικοῦ. ἔστι δὲ
καὶ ἐμφερὴς βατράχῳ ἀλλὰ τοὺς ὀφ-
θαλμοὺς μείζονας ἔχει. ταῖς ῥίζαις
δὲ τῶν καλάμων ἢ τῶν θάμνων
προσκάθηται ὁ φρῦνος. *θερειομένου* δὲ
τουτέστιν ἐν τῷ θέρει κατεσκευασμένου
εἰς δηλητήριον. τὴν ἐπιφάνειαν γὰρ τοῦ
σώματος κνίζοντες ποιοῦσι θαυματί-
αν. ἔπειτα τὸν ἰχῶρα τοῦτον λαβόντες
συμμίγνουσι βρωτοῖς καὶ ποτοῖς καὶ οὕτω
διδόντες ἀναιροῦσιν. ὁμογενῆ δὲ τὰ
ζῷά εἰσιν. ὁ δὲ κωφὸς βάτραχός ἐστιν
ἄλλος φρύνου. *ἢ ἔτι καὶ κωφοῖο*
ἤτοι τοῦ ἀφώνου καὶ δασέος. *προσ-
φύεται* δὲ οὐ προσκάθηται. *καὶ μο-
ρόεις* ὁ κακοποιὸς ἢ ὁ μόρον ἄγων



*καὶ λιχμώμενος ζωὴν* ἀντὶ τοῦ ζητῶν ἢ
λείχων τὴν δρόσον. *τῶν ἤτοι θρόεις μὲν*
θρόεις μὲν γὰρ οὗτος ἐστὶ τῇ θερείᾳ τὸ ἀ-
π' αὐτοῦ φάρμακον συντίθεται ὁ δ' ἀνα-
μικώτερόν ἐστιν. *ἀμφὶ δὲ χλόον* δη-
λονότι τῶν φαρμακευομένων. οἱ γὰρ
φαρμακευθέντες φασὶν ὠχροὶ γίνονται
ὅτι δὲ οὗτος ὡς βάτραχος ~~π~~ ἐστὶ
ος ἄλλο ὃ ἐν θερμοῖς διαβίβιον.
τόποις. καὶ ἀπολλόδωρος δέ φησι
τὴν αὐτὴν πόσιν ἀπὸ οἴνου δοτέον
ἢ δὲ θάνατός ἐστιν ἔθος βοτάνης χλω-
ρᾶς ἢ προσεικάζει τὴν χροιὰν τοῦ
κάμνοντος. τὸ δὲ ἆσθμα αὐτοῦ ἀ-
θρόον συνάγεται καὶ ἡ ἀναπνοὴ δυ-
σώδης ἐστί. *καί τε πολλῷ* τὸ
κακὸν βάρος τοῦ ὀλεθρίου, ἐχθροῦ
φαρμάκου. τοῦτο γὰρ λέγει. ἐσβο-
ἤτοι τῶν κάμνοντι βεφθεὶς ὁ πός
*θυμηρέμενον δὲ ἔαρ* τὸ θυμηρέσατ-
τὸ τῇ τύχῃ ~~πο~~ ἡρμοσμένον. *αὐ-
ταρ*

. ε. m

ὁ γὰρ ἄφθογγός τε· οὗτος δὲ κέρβερος καλεῖται
ἄφθογγος ὤν. ἐνταῦθα γὰρ περὶ τοῦ ἀλά-
λου διαλαμβάνει ἐπειδὴ ἄνω περὶ τῆς
ὑλάκου ἔγραφεν. ἄλλοτε δ᾽ ὑγραίνει φη-
σὶν οὕτω τουτέστιν ἀγόνους κατασκευ-
άζει τοὺς ἄνδρας καὶ τὰς γυναῖκας διὰ
τὸ ἐπὶ πολὺ ἐξυγραίνεσθαι τὸ σπέρμα
ὥστε ἐκ τοῦ αὐτομάτου ῥεῖν. οἱονεὶ γὰρ
διαλυομένου τοῦ στόματος ἐθῶδες γί-
νεσθαι. ἄλλως. χολόεν στόμα ἤτοι
χολαῖς ὑγραίνει τὸ στόμα τουτέστι χο-
λῆς ἀποπληροῖ. κηδιόωντα ὅ
ἤτοι τὴν κηδίαν ἀλγοῦντα καὶ κα-
τικμαίζων ἀντὶ τοῦ κάτω ἄγων ποιῶν
τῆς ἀνδρογονῆς. σκεδάζων γόνοισι τηΐσκει
ἀντὶ τοῦ σκορπίζων τὸ σπέρμα τοῖς
μίξεσιν ἀποτελεῖ ἀγόνους τοὺς φαρ-
μακευθέντας κἄν τε ἀνὴρ ἢ κἄν τε
γυνή. ἀφυσγετὸν δὲ ἀντὶ τοῦ πολύ-
σαθιλὲς ἀφύσιμον καὶ ἀρρύσιμον

κεστρίτου φλογμῇ. σὺ δὲ αὐτὸν φησὶν ἐν
πίθῳ διθύρῳ ἐνθέντι ξηροπυελίαν λαμ-
βάνειν ὥσπερ οἱ ὑδρωπικοί. ἐναλθῆ
δέ. ἤγ. θεραπευθῆναι ἰατρευόμενον. στ. καὶ
ἀναλθῆ. θρυμάτιο δὲ ἀντὶ τοῦ θρυ-
μανον. καὶ τὸ χαιδ᾽ ἀπὸ νηχύτου
ἱδρῶ τουτέστιν ἵνα ἱδρώσῃ τὸν
πολὺν χυτὸν αὐτοῦ ἱδρῶτα. καὶ ἂν
ξηρῶν δονάκων ἤτοι τῶν μεγάλων
στ. καὶ οὕτως ἢ ξηρῶν τῶν αὐχμη-
ρῶν. παραξαίρεσας δέ φησι τὸ χλω-
ρὸν τῶν καλάμων ἐσθιόμενον ὠφέλι-
μον ὑπάρχει τοῖς τῷ οἴνῳ πε-
φαρμακευμένοις. τῷ οἴνῳ φησὶν
ἐν ᾧ τὰ ἀποβρέγματα τῶν ῥιζῶν
τῶν καλάμων ἐστίν, ἢ τοῦ κυπε-
ρου ἀναζεῖται αὐτῶν νῆστιν. ὑπο-
τέτροφε δὲ οἶκος ἐν τῇ τῶν καλαμ-
είαις ἢ ἔγραφη ὑπὸ λίμνην. οἱ
κέφη δὲ. ἤγ. ἑκάστη οἰκουμένη αὐ-
τοῖς

καὶ ἑρπετὰ τοὺς μικροὺς βατράχους
δύο δὲ αὐτῶν εἴδη, τὸ μὲν κρακτικόν
τὸ δὲ ἄφωνον. ἀμφότερα δὲ θανά
σιμα. ἡ δὲ φαρμακεία ἡ διὰ τῶν
βατράχων γινομένη ἐστὶν αὕτη· λ
λαμβάνουσιν καὶ καταχωννύουσι ὅ
λον τὸ σῶμα φυλασσόμενοι κα
τὰ βάθος ποιεῖσθαι τὰ χωνήματα
αὐτὴν ἐν μόνῳ σώζοντες τὴν ἐπιφά
νειαν τῆς σαρκὸς καὶ εἰς ἀπιαστω
σταμνὶ βαλόντες μικρὸν ὕδωρ ἐπι
ρραίνουσι καὶ τὸ ἀπορρέον τούτων
συμμίσγουσι βρωτοῖς ἢ ποτοῖς
καὶ οὕτως ἀναιροῦσι. νηχύδε
ἀντὶ τοῦ περιπαθές. δύο δὲ εἴ
δη καθάπερ ἀρσενικόν τε καὶ
θηλυκόν. φιλόζωον δὲ αὐτό φησι
διὰ τὸ τὴν ῥίζαν ἔχειν στερεωτά
την. αὐτὸν τὴν ἐκχέεαι ὀπὸν ἐπιπα
στοῖς ἀναγκάζει αὐτὸν χρῆσθαι



μακροῖς μήτε βρωτὸν μήτε ποτὸν προσφέ
ροντα, τὸ στόμα ξηραίνοντα ἵνα καὶ το
χωθῇ καὶ καταζύθαιο δὲ γῆα ἀντὶ
τοῦ καταχώσσον αὐτοῦ τὰ μέλη. ἐχθομέ
νη δέος. καὶ τῆς λιθαργύρου τὸ πόμα
θανάσιμόν ἐστι. μάλιστα δὲ οἱ περὶ
ἀπολλόδωρον αὐτό φασι δεδόσθαι
μετὰ φακοῦ ἢ σισαμίου ἢ σελαχοῦ
τος· διὰ τοῦτο λιθαργ. λανθάνει ὁμοχρόω
φησὶ δὲ τοῖς ἐνεχομένοις περιτρέπε
σθαι βάρος κατὰ τῆς κοιλίας. μετὰ
δὲ τὴν μέσην αὐτὴν πνεῦμα βορβο
ρίζον ἀνειλεῖσθαι, τὰ δὲ μέλη ἐμπιπρᾶ
σθαι, τὴν δὲ χροιὰν ἐοικέναι μολίβδῳ.
πνεῦμα τ' ἀνειλίσσοντα ἢ ἐμπνεύματα
τοῖς παραπληκτοῖς στρόφω ἢ χύλω.
ἐλίγγοιο δὲ δυσαλθέος τῆς κοιλίας
στρόφου φησί. οὐ μὴν τῶν γονέων. ἢ.
καὶ οὐ μὲν τῶν γονέων ἀντὶ τοῦ κα
χωθέντι ὑπὸ τοῦ λιθαργύρου

καὶ οὕτω καὶ ἡ τῶν οὔρων ῥύσις καθέ-
χεται, τὰ δὲ μόρια συμπέφρακται. καὶ
τὸ ἰδίωσε χροιὴν ἀντὶ τοῦ ὡμοιώ-
θη. τοτὲ μὲν δύο ὀβολοὺς σμύρ-
νης ἄλλοτε οὔρειον ὅ ἐστιν ὀρεινὸν ὑπέ-
ρικον ἄλλοτε ὁρμίνου ἐστὶ δὲ εἶδος
βοτάνης ἄλλοτε ὑακίνθου κλάδους.
κραδίην δὲ νέων ἀγρείαν σικύων. ἀφα-
δὸς σελίνου τοῦ ὀρεοσελίνου καλου-
μένου. φυτὸν γὰρ τοιοῦτόν ἐστι διουρητι-
κόν. ἴσθμιον ἡ ἰσθμοῖ δηλονότι ἐστὶ
σπᾶσι τοῦ ἀγῶνος τοῦ μηλικέρτου. σι-
σιφίδαι δὲ οἱ κορίνθιοι. ἄγεται δὲ
τῷ μηλικέρτῃ ὁ ἰσθμιακὸς ἀγών. ἐν
ᾧ ὁ στέφανος ἦν πρότερον τοῖς νι-
κῶσιν ἀπὸ σελίνου ὕστερον δὲ
ἀπὸ πίτυος. γέγονε δέ φησιν
ἐπὶ σινίδι τὸν θησέα διαφθεῖραι, ὁ δὲ
ποσειδῶνι τῷ πατρὶ θεῷ τελέσαι



οἱ πλεῖστοι δέ φασι τελεῖσθαι τῷ μηλικέρτῃ.
ῥυσίμω καὶ γὰρ ῥύσιμόν ἐστιν εἶδος βοτά-
νης. ἰδίως δὲ αὐτὸ εἴρηκε χωρὶς τοῦ ε.
ὅτινες πήγανόν φασι. ὁμηρέα δὲ
ἀντὶ τοῦ ὁμοῦ μίξας. κυπείροντα βλα-
στὰ οἱ μὲν εἶδος φυτοῦ τὴν κύπειρον
φασίν. οἱ δὲ τὰ ἀπὸ τῆς κύπρου νήσου
βλαστήματα. καὶ τῆς κύπρου φασὶ
τὰ νεοθαλῆ βλαστὰ καὶ τῆς σίδης ἤτοι
τῆς ῥοιᾶς. προσθηγένους κυτίνους τὸ
ἀνθήμονα χρὴ πιὸν μετὰ οἴνου εἴτε
θρύψας αὐτὰ ποιεῖν. κύτινον δὲ τὸ
ἄνθος τῆς ῥοιᾶς ὅπερ αὐξηθὲν ῥοιὰ
γίνεται. μὴ μέντοι σμίλον ἡ σμίλος
φυτόν ἐστιν ἐλάτῃ ὅμοιον δένδρον καὶ βία
τονίλα ἐπί. περὶ τῆς σμίλου φη-
σιν ἀνδρέας περὶ αἰτωλῶν πάλιν
ἀνεῖν καὶ τοὺς ἐγκοιμηθέντας αὐτῇ ἀ-
ποθνήσκειν. ὁ δὲ θεόφραστος περὶ
μὲν τῶν ἀνθρώπων οὐδὲν εἴρηκεν

αὐτὸ δὲ μόνον ὅτι τὰ κολοφωνέα τῶν
ζώων γευσάμενα ἀποθνήσκει. κο-
λοφωνέα δέ εἰσι βόες. ἡμίονοι. κα-
λλίμαχος δὲ ζῶπετα. τῶν ἀλιτρῶν
φαται λοφιήν. ὀπίσω δὲ τὴν δι-
ὰ τὴν αἰτίαν γινομένην ἢ τὴν ἐνοιτη-
γινομένην ὀργὴ τῆς αἰτίας. καὶ
κροτῆρα δὲ ἀντὶ τοῦ ἀκρατοῦ τὰ
τὴν πόσις οἴνου πολλὴ παραχρῆ-
μα ἰᾶται. καὶ τὰ μὲν ὅσα νίκαν-
δρος ἤτοι καὶ ταῦτα μὲν ὁ νίκανδρος
τῆ ἰδία κατέθετο βίβλω τὰ ἀντί-
πονα καὶ φαρμακώδη ἑκάστω ἀν-
δρί. τὰ ἐκ τοῦ μύκητος ἀπὸ τὸ
τὸ γινόμενα. ἢ τὰ μύκητος ὅ ἐστι τὰ
λυχνήεια. ἄλλως. παρ' ἀνδρὶ ἡ
παρὰ πρὸς τὸ κατέθετο ἐν ἡ
παρακατέθετο ἀνδρὶ ἑκάστω ἐν τῇ
ἰδίᾳ βίβλω. μοχθήεντα δὲ ἀντί-

ἀντίπονα. ἢ οὕτω τὰ ἀντιφάρμακα
μύκητι κακοποιοῦντι ἀνθρώπω. ταῦ-
τα γὰρ βοηθήματα ἐν τῇ ἰδίᾳ βι-
βλω κατέθετο. πρὸς δὲ τοῖσιν.
πρὸς δὲ τούτοις φησὶ βοηθεῖ καὶ ἧς
τινος τοὺς κλῶνας ἐμίσησεν ἡ δί-
κτυννα λέγει δὲ περὶ τῆς μυρσίνης
φησὶ γὰρ αὐτὴν ἡ δίκτυννα μισεῖ καὶ
μόνη. αὕτη ἡ μυρσίνη τῆς ἰμβρασί-
ης ἥρας οὐχ ὑπεδέξατο τὸ στέφος τὸν
τεξιν οὐκ ἐξήνεγκε τὸ στέφος τῆς ἰμβρα-
σίας ἥρας διότι κάλλους ἕνεκεν
ἧς ξὺν διηνέχθησαν αἱ ἀθάνατοι
θεαί. ὅτι τὴν κύπριν ἐκόσμησεν
αὕτη ἡ μυρσίνη. ἐν τοῖς τῆς ἴδης
ἐν τοῖς κατὰ φρυγίαν ὄρεσι. ἄλλως.
καὶ ἡ μυρσίνη φησὶ βοηθεῖ. ἧς τοὺς
κλῶνας ἐμίσησεν ἡ δίκτυννα
καὶ μόνη οὐκ ἐδέξατο τὸ τῆς ἰμβρα-

οὐ πέρας εἶδος· ὅτι τὴν Ἀφροδίτην ἐ-
κόσμησεν ὅτι περὶ κάλλους αἱ ἀθά-
νατοι ἤρισαν θεαί. ἢ οὕτω· τὴν ἰδέαν
ἐκόσμησαν αἱ θεαὶ τοῖς ἄνθεσι τῶν
βοτάνων καὶ περὶ λόχμαις ἐν ταῖς ἀδαὲς
κάλλους εἰς ἅμιλλαν κριθησόμεναι
περεχόμενον. σίκυννα δὲ καὶ ἥπατε
μις λέγεται. καὶ τό. τέης ἧς τινος ἐμί-
σησε. τῆς σύ γ' ἀπ' εὐύδροιο νάπης
ταύτης τοῦτό φησι τῆς μυρσίνης τὸ ὄναν-
τὲς ὄφελος ὁ καρπὸς αὐτῆς
ὠφέλιμός ἐστι τοῖς πάσχουσι ὅ ἐστι
τὸν καρπὸν τὸν πορφυροῦν. τὸν
συναύξοντα ταῖς χειμεριναῖς νυξίν
οἱονεὶ τῷ ἔαρι. ἢ τὸν συναύξοντα
ταῖς χειμεριναῖς ὥραις ἢ ἡμέραις.
μᾶλλον γὰρ τῷ χειμῶνι ἀνθεῖ τοῦτο
φησὶ τὸν καρπὸν ἀπὸ τῆς εὐύδρου



νάπης λαβὼν καὶ θαλφθέντα ταῖς
τοῦ ἡλίου ἀκτῖσι. αὐώσας. τουτέστι
ξηρανθέντα αὐώσας καὶ τὸν χυλὸν
δι' ὀθόνης ἢ κυρτίδος ἐκπιέσας
δίδου κοτύλην τῷ μὲ προσπεπω-
κότι ἑψημένην ἐν κυάθῳ ἢ καὶ κοτύλης
πλέον. λάνδες δὲ τὸ ἄναντες
ὄφελος. καὶ ἠελίοιο βολῇσιν ἤτοι
ταῖς ἀκτῖσι καὶ φοινίδι κύρτῃ τῇ
ἐκ φοίνικος πεποιημένῃ. ὀνήιον
δέ ἐστι ὠφέλιμον. καὶ ἄρκιον βοη-
θικὸν καὶ ὠφελιμώτατον. ὑμνοπό-
λοιο τοῦ ἐν τοῖς ὕμνοις καὶ ᾠδαῖς
καὶ ποιήμασιν ἀναστρεφομένου
τουτέστι ποιητοῦ. ἐν τῷ μεμνῆ-
σθαι τοίνυν ἡμῶν τὸν νόμον φυλά-
σσοις τοῦ ξενίου Διός. μνῆστιν γὰρ
ἀντὶ τοῦ μνείαν.

τέλος σὺν θεῷ τῆς ἐξη-
γήσεως.

## Ἔκθεσις τῶν σταθμῶν καὶ μέτρων ἀκριβεστάτη

Κεράτιον τὸ ἰδιωτικῶς λεγόμενον κόκκιον ἐστὶν α΄. ὥσπερ δὴ καὶ ἡ μονὰς τῶν ἀριθμῶν. ὁ ὀβολὸς ἔχει κεράτια ἤτοι κόκκια τρία. τὸ γράμμα ὀβολοὺς δύο. ἡ δραχμὴ γράμματα τρία. τὸ δηνάριον δραχμὴν μίαν ἥμισυ. τὸ ἀσσάριον δηνάριον ἤτοι στάγιον ἓν ἥμισυ. ὁ στατὴρ ἀσσάρια δύο. ἡ οὐγγία στατῆρας δύο. ἡ ὁλκὴ ~~σου~~ οὐγγίας δύο. ἡ λίτρα ὁλκὰς ἕξ. ἡ ἰταλικὴ μνᾶ λίτραν μίαν ἥμισυ. ἡ δὲ ἀττικὴ σάγια τρία. ἡ πτολεμαϊκὴ λίτραν μίαν καὶ ἡμίσειαν.



τὸ κοχλιάριον δηνάριον ἤτοι στάγιον ~~ημι~~ ἥμισυ. τὸ μικρὸν μύστρον καὶ τὸ σίκλον κοχλιάρια δύο. ὁ κύαθος μικρὰ μύστρα τέσσαρα. τὸ ὀξύβαφον καὶ τὸ μέγα μύστρον κυάθους ἕξ. ἡ κοτύλη καὶ τὸ τρυβλίον ὀξύβαφα δύο. ὁ ξέστης κοτύλας δύο. ὁ χοῦς ξέστας ἕξ. τὸ ἰταλικὸν κεράμιον χόας ὀκτώ. δεῖ γινώσκειν ~~οἱ~~ ὡς οἱ ἐνταῦθα καταγεγραμμένοι σταθμοὶ τῶν τῶν ὑγρῶν μέτρων, τοῦ οἴνου καὶ τοῦ ὕδατος συνετέθησαν. τοῦ δ' ἐλαίου καὶ ὕδατος ἀναλογίζεσθαι χρὴ ἕκαστον σταθμὸν τοῦ

τῶν ὑγρῶν μέτρων κατὰ ἀναλογίαν
τῆς τοῦ βάρους ἑκάστου εἴδους στα-
θμῶν σταθερῶς, κατὰ τὴν ἐκ παλαιοῦ γενο-
μένην ἀπόπειραν καὶ δοκιμα-
σίαν τοῦ βάρους ἑκάστου εἴδους
τῶν ὑγρῶν. ἔχει δὲ οὕτως.
τὸ ὕδωρ καὶ ὁ οἶνος ἰσοστάθμια
λογίζονται. ἡ γοῦν λίτρα τοῦ
ἐλαίου ἐὰν εἰς ἀγγεῖον ἐμβληθῇ
καὶ πληρώσῃ τοῦτο. εἶτα εἰς
τὸ αὐτὸ ἀγγεῖον ἐμβληθῇ ὕδωρ
ἢ οἶνος πλέον τῆς λίτρας καὶ
ἕτερα ἓξ στάγια εὑρεθήσεται
διὰ τὸ φύσει εἶναι καὶ τοῦ [illegible]
οἴνου καὶ τὸ ὕδωρ βαρύτερα
τοῦ ἐλαίου. εἰ δὲ εἰς τὸ αὐτὸ
αὐτὸ ἐμβληθῇ μέλι πλέον



πάλιν τῶν ἑβδομήκοντα ὀκτὼ σταγί-
ων καὶ ἕτερα στάγια δεκαπέντε
ἥμισυ εὑρεθήσονται ἤγουν τὸ αὐτὸ
ἀγγεῖον ὅπερ χωρεῖ ἐλαίου λίτραν
ἤτοι στάγια ἑβδομήκοντα δύο
ὕδατος μὲν καὶ οἴνου ἑβδομήκον-
τα ὀκτὼ στάγια πάντως χωρήσει
μέλιτος δὲ στάγια εἰκοσιεννέα.
καὶ δεῖ διὰ τούτου κατὰ ἀναλογίαν
ἑκάστου εἴδους ἢ προστιθέναι ἢ
ἀφαιρεῖν ἀπὸ τοῦ ποσοῦ τῶν
ἀναγεγραμμένων σταθμῶν. ὥσπερ
ἐπὶ οἴνου καὶ ὕδατος ὡς ἔφημεν
κατεγράφησαν. οἷς χρὴ δὲ προσέ-
χειν ἐπιμελῶς ἵνα μὴ βλάβη
μεγάλη ἐν ταῖς σκευασίαις προσ-
γένηται. ἡ μεγάλη κοτύλη ἴση

τῶν ὀξυγράφω. ὁ χοῖνιξ κοτύλας
τρεῖς. ὁ ἀμφορεὺς ξέστας διάκον
τα ἕξ. ὁ μετρητὴς ξέστας ἑβδομή
κοντα δύο, κατὰ δὲ ἐνίους ἑκατὸν
εἴκοσιν. ὁ μέδιμνος ξέστας ἑκατὸν
δύο.

## ἔκθεσις τῶν σημείων καὶ χαρακτήρων

τὴν τῶν σημείων καὶ χαρακτήρων δι
δασκαλίαν ἀναγκαιοτάτην οὖσαν
οὐ πάρεργον ἀναγράψασθαι ὅπως
ταῖς τῶν φαρμάκων σκευασίαις
συμβολικῶς δηλοῦντες κείμενα
ἵνα αὐτίκα γνωρίζειν ἔχωμεν
τὴν ἐξ αὐτῶν σημαινομένην σταθ
μίαν. τὴν οὖν μνᾶν σημαίνει
τὸ· μ̄· στοιχεῖον. ἐπικείμενον



ἔχον τὸ· ῡ· μ͂. τὴν δὲ λίτραν τὸ
λ̄. ἐπικείμενον ἔχον τὸ· ῑ· λ̄ῑ.
τὴν δὲ οὐγγίαν τὸ· ῡ· ἔχει συγκεί
μενον τὸ· ο̄· ȣ. τὸ δὲ [illegible]
τὸ· μ̄· δηλοῖ ἐπικείμενον ἔχον τὸ· ε̄·
με. πλάγιον δὲ· λ̄· ὡς μὲν τὰ
δεξιὰ τῆς χειρὸς νεῦον, δραχμὴν δη
λοῖ. ∠. ὡς δὲ τὰ εὐώνυμα ἡ
μίσειαν. >. τὸ δὲ ἐφαμάχον
⌒ παρὰ ἐφραίοις μὲν τριόβολον.
ἡμῖν δὲ παντὸς σταθμοῦ τὸ
ἥμισυ ⌒. πλάγιον δὲ ἐν μ
ὀβολὸν ⌒. δύο δὲ
δύο ὀβολοὺς ⌒. ἔσω δὲ στρα
μμένον τὸ λημνικὸν σίγμα ἡμιόβο
λον. ɔ. ξ̄ δὲ ἐπικείμενον
ἔχον ε. ξέστην δηλοῖ. ξε. ∠. χ̄
δὲ ἐπικείμενον ἔχον τὸ υ. κύα
θον

κυ. / ὑποκείμενον δὲ τῷ .λ. τὸ .ο.
ὁλκὴν σημαίνει ⅁ .// τὸ δὲ .χ.
στοιχεῖον ἐπικείμενον αὐτῷ τὸ .α.
χαλκοῦν σημαίνει. χ^α // τὸ δὲ .ο.
ἔχει χόα. χ^ο / τὸ δὲ .υ. χοίνικα
χ^υ. // τὸ δὲ .η. χήμην. χ^η / τὸ δὲ
.κ. τὸ μὲν ἔχει .ε. ἐπικείμενον καὶ
λοξίαν εὐθεῖαν γραμμὴν τέμνου-
σαν τὴν κατακεραίαν αὐτοῦ κερά-
τιον δηλοῖ κ^ε / τὸ δὲ .υ. κύαθον
κ^υ / τὸ δὲ .ο. κοτύλην. κ^ο /
ἡ δὲ ἀπερίστικτος εὐθεῖα γραμμὴ
παράλληλα τεθεῖσα ⟍ . κατὰ πᾶν
δηλοῖ. αἱ δὲ δύο ἀπερίστικτοι δύο
ὀβολοὺς οἳ ποιοῦσιν ═ / δηλοῖ
μὲν ὑπὸ τοῦ .ϛ. πλησίον ἔχον
τὸ .ρ. τεμνόμενον μετὰ εὐθείας



γραμμῆς. ϙ / αἱ δὲ δύο γραμ-
μαὶ συμπίπτουσαι κατὰ
τὸ πέρας ὥστε γωνίαν ποιεῖν
ἐμφερὲς ταῖς τοῦ .κ. δύο κεραί-
αις ταῖς πρὸς τὴν ὀρθὴν γραμμὴν
σημαίνουσι δραχμήν. ∠
τὴν συνωνύμως καὶ ὁλκὴν κα-
λουμένην. ἰδίως δὲ τὴν ὁλκὴν τὸ
.λ. δηλοῖ ἔχον μέσον τὸ .ο. ⅁ /
τὸ δὲ .γ. ἔχει τὸ .λ. σημαίνει λί-
τραν. λ^ι / τὸ .γ. ἔχον ἐντὸς γω-
νίας αὐτοῦ τὸ .ο. οὐγγίαν δηλοῖ
γ^ο / τὸ .μ. ἔχον κατὰ τὸ μέσον
αὐτοῦ τὸ .ν. μνᾶν δηλοῖ μ^ν /
τὸ δὲ τὸ .ε. μεδίμνου. μ^ε. τὸ δὲ
τὸ .υ. μύστρον. τὸ δὲ .ο. μόδιον
μ^ο / τὸ δὲ .π. ἔχον ἐμπρο-
σθεν

ἀτῶν. ρ. καὶ. υ. ζούλους δηλοῖ. τρυ-
τὸ δὲ. ξ. ἡμῖν ἔχει ἐπάνω. ε. ξέστω
δηλοῖ. ξε. τινὲς δὲ τέμνουσι τὸ ξ.
ἀντὶ τοῦ ξέστω. ξ. / ὁ δὲ. ο. ἔχει ξό-
ανον. ξο. / ὁ δὲ. π. καὶ. ρ. ἐπάνω
ἔχουσι. μ. κεράμιον δηλοῖ κερ. /

ἐπειδὴ μέτρων καὶ στα-
θμῶν ἰατρικῶν στοχασμῶν
τὰ τῆς ἐκθέσεως ἁπλουστάτη

ὁ μέδιμνος ἔχει λίτρας. μη. / τὸ
ἡμιτέμνον ἔχει λίτρας. κδ. / ὁ χό-
ας ἔχει λίτρας δέκα / ὁ χοίνιξ
ἔχει λίτρας ἕξ. / ὁ ξέστης ἔχει
λίτραν. α. ἥμισυ / ἡ μνᾶ ἔχει
λίτραν. α. οὐγγίας. δ. / ἡ λίτρα
ἔχει οὐγγίας. ιβ. ἡ κοτύλη ἔχει



οὐγγίας. θ. / τὸ τρυβλίον οὐγγίας. θ.
ἡ μνᾶ ἔχει οὐγγίας. θ. / τὸ ὀξύβαφον
ἔχει οὐγγίας. β. στάγια. β. / ὁ κύ-
αμος ἔχει οὐγγίαν. α. ἥμισυ. / τὸ
μέγα λίτρον. οὐγγία. α. / ἡ οὐγγία
στάγια ἕξ. / ὁ στατὴρ στάγια τρία
τὸ μυστρίον στάγια τρία. / τὸ σίκλον
στάγια τρία. / τὸ βασιλικὸν κάρυον
στάγια τρία. τὸ ἔχτον μοδίου στα-
για τρία. τὸ στάγιον, ἐν [illegible] / ἡ χήμη
στάγια δύο κεράτια ἕξ. / τὸ ὀξύβα-
φον οὐγγίας δύο στάγια δύο. τὸ
κοχλιάριον στάγια. ϛ. / τὸ μικρὸν
σίκλον στάγια. ϛ. / τὸ στάγιον
κεράτια. κδ. / τὸ κεράτιον σι-
τάρια. δ. / ἡ δραχμὴ κεράτια
ιη. / ἡ ὁλκὴ κεράτια. ιη. / τὸ

ποντικὸν κάριον κεράτια .ιη. / τὸ
γράμμα κεράτια ἕξ ἤ(γουν) .ς. / ὁ ὀ
βολὸς κεράτια τρία / ἡ θέρμη
κεράτιον ἓν ἥμισυ / ἡ πρόξις κερα
τιον ἓν ἥμισυ / ἡ δραχμὴ κεράτι
ον ἓν ἥμισυ / ὁ κύαθος ἔχει
μνᾶς μικρὰς ἤτοι μύστρα μι
κρὰ δύο. τὸ γὰρ μύστρον ἔχει
σταθμὸν σταγμῶν [illegible] ἤτοι οὐ
γγίαν ἥμισυ.. ἐν ἄλλοις δὲ
φασὶν ὅτι ὁ κύαθος ἔχει σταθμ(ὸν)
οὐγγ(ίας) μιᾶς ἡμίσεως. γινώσκει(ν)
δὲ ὅτι τὸ σημεῖον τόδε · [illegible]
[illegible] κεράτια .ε. / ὁμοίως δὲ καὶ
τόδε τὸ [illegible] οἷον ξύλ(?) .ε.

τέλος σὺν θεῷ τῶν
λεγομένων